pedes rogavit supplex, uti se, residuumque sibi exercitum, pretio magno, muneribusque interpositis, missos faceret. Sed vix eo ita adductus Cyclops, dimissionem promittebat, ubi advesperasceret: fidemque suam liberavit; animo tamen egrediendi per noctem intempestam, ut Ulisse, sociisque occisis, opum quodcunque attulerat cum navibus diriperet. Ulisses autem quamprimum liberatus est, à tam truculento homine misere sibi metuens, exinde solvens, ab oris ejus statim discessit. Cyclops vero per noctem adorturus eos, ubi evasisse naves percepisset, in furorem adactus, saxa in mare præcipitari jussit, ne forte interius alicubi stationem alteram occupassent. Nox autem erat intempesta, terraque tenebris involuta erat, cum Ulisses, sociique, locorum imperiti, in alteram illam insulæ partem, quæ Polyphemi erat, Cyclopis, & Antiphantis fratris, inciderunt. Polyphemus, audito ad terram suam nonnullos per noctem appulisse; collectis viribus suis, Ulissem aggressus est, prælioque inter eos per totam noctem commisso, ex Ulisseis ceciderunt quamplurimi. Mane autem facto, Ulisses etiam Polyphemo dona obtulit; procidensque ei ad pedes, Ego, inquit, Trojanis ab oris, ul-

1. ἢ μόνον δὲ] ἢ μόνον. 2. δειλιῶν] Scr. δειλιῶν.

tima maris discrimina expertus, huc in partes vestras errabundus adveni: simulque enumeratis quæ sustinuerat periculis, Polyphemum ita delinibat, ut misertus ejus Ulissem, sociosque hospitio excepit; usque dum navigandi tempestas idonea instaret. At vero Polyphemi filia, Elpe dicta, Lionem quendam ex Ulissis sociis, virum formosum, adamavit. Secundos itaque nacti ventos, abrepta ea, inde ex Sicilia solverunt: uti hæc sapientissimus Sisyphus Cous scripta reliquit. Sapiens enim Euripides, in Dramate suo de Cyclope, fabulatur, tres eum oculos habuisse: nempe sic innuens nobis tres fratres illos, qui sui curam invicem habentes, singuli quæ omnium esset in Insula prospexerint, singulorum omnes vel in suppetias, vel vindictam paratissimi. Fabulatur idem, Ulissem, inebriato Cyclope, sic è manibus ejus evasisse: nempe inebriavit eum Ulisses ingenti pecuniarum pondere donisque; ne se, sociosque absumeret. Idem autor est, Ulissem stipite præusto oculum unicum Cyclopi eruisse: nempe quod fratris Polyphemi filiam virginem, quam unicam habuit, Cupi-

αὐτῷ, εἰπών· ὅτι ἀπὸ τῶν Τρωϊκῶν τόπων ἐλήλυθε πεπλανημένος ἀπὸ πολλῆς κυμάτων ἀνάγκης· ἀπαριθμήσας αὐτῷ καὶ τὰς συμβάσας αὐτῷ κατὰ θάλασσαν διαφόρους συμφοράς. Ὅστις Πολύφημος συμπαθήσας αὐτῷ, ἠλέησεν αὐτὸν, καὶ ὑπεδέξατο αὐτὸν, καὶ τοὺς αὐτοῦ, ἕως οὗ ἐγένετο ἐπιτήδειος ὁ πλοῦς. Ἡ δὲ θυγάτηρ τοῦ Πολυφήμου, [1] ὀνόματι Ελπη, ἐρωτικῶς διετέθη πρός τινα εὐπρεπῆ ἄνδρα τῶν μετὰ τοῦ Ὀδυσσέως, ὀνόματι Λείωνα· καὶ ἐπιτηδείου ἀνέμου πνεύσαντος, ταύτην ἀφαρπάσαντες, ἐξώρμησαν ἐκ τῆς Σικελίας νήσου. ἅτινα ὁ σοφώτατος Σίσυφος ὁ Κῷος ἐξέθετο. Ὁ γὰρ σοφὸς Εὐριπίδης δράμα ἐξέθετο περὶ τοῦ Κύκλωπος, ὅτι τρεῖς εἶχεν ὀφθαλμοὺς, σημαίνων τοὺς τρεῖς ἀδελφοὺς, ὡς συμπαθοῦντας ἀλλήλοις, καὶ [2] διαβλεπομένων τοὺς ἀλλήλων τόπους τῆς νήσου, καὶ συμμαχοῦντας, καὶ ἐκδικοῦντας ἀλλήλους· καὶ ὅτι οἴνῳ μεθύσας τὸν Κύκλωπα, ἐκφυγεῖν ἠδυνήθη· διότι χρήμασι πολλοῖς, καὶ δώροις ἐμέθυσε τὸν αὐτὸν Κύκλωπα ὁ Ὀδυσσεὺς, πρὸς τὸ μὴ κατεσθίειν τοὺς μετ' αὐτοῦ. Καὶ ὅτι λαβὼν Ὀδυσσεὺς λαμπάδα πυρὸς, ἐτύφλωσε τὸν ὀφθαλμὸν αὐτοῦ τὸν ἕνα. διότι τὴν θυγατέρα τὴν μονογενῆ τοῦ ἀδελφοῦ αὐτοῦ Πολυφήμου, Ελπην, παρθένον οὖσαν, λαμπάδα

1. ὀνόματι Ελπη] Hanc Polyphemi filiam, Arenen, & amasium ejus, Elpenorem vocat Dictys: ex quo licet Auctor noster, de Bello Trojanos inter Græcosque, hæc omnia se descripsisse supra asserat, autorem tamen hîc alium, Sisyphum Coum profert.

2. διαβλεπομένων τοὺς ἀλλήλων] Scr. διαβλεπομένους.

πυρὸς

πυρὸς ἐρωτικοῦ καυθεῖσαν, ἥρπασε· τοῦτ᾽ ἔστιν, ἕνα τῶν ὀφθαλμῶν τοῦ Κύκλωπος ἐφλόγισε τὸν Πολύφημον, τὴν αὐτοῦ θυγατέρα ἀφελόμενος. Ἥντινα ἑρμηνείαν ὁ σοφώτατος Φειδίας ὁ Κορίνθιος ἐξέθετο, εἰρηκώς· ὅτι ὁ σοφὸς Εὐριπίδης ποιητικῶς πάντα μετέφρασε, μὴ συμφωνήσας τῷ σοφωτάτῳ Ομήρῳ, ἐκθεμένῳ τὴν Οδυσσέως πλάνην.

Ο δὲ Οδυσσεὺς ἀπὸ τῆς Σικελίας ἦλθεν εἰς τὰς Αἰολίας νήσους· καὶ ἐδεξιώθη παρὰ τοῦ Αἰόλου, βασιλέως τῶν νήσων. Οστις μέλλων τελευτᾷν, διένειμε τὰς δύο νήσους [1] ταῖς θυγατράσιν αὐτοῦ· καὶ ἦσαν βασιλίδες τῶν δύο νήσων. Η δὲ Κίρκη ὑπῆρχεν ἱέρεια Ηλίου, δοθεῖσα ὑπὸ τοῦ ἰδίου πατρὸς ἐκ νηπιόθεν ἀνατραφῆναι εἰς τὸ ἱερὸν ἐν τῇ νήσῳ, [2] τῇ λεγομένῃ Εέᾳ· ἥτις αὐξηθεῖσα, ἐγένετο μυστικὴ μάγος· ἦν δὲ εὐπρεπὴς πάνυ. Η δὲ ταύτης ἀδελφὴ Καλυψὼ διαφθονουμένη αὐτῇ, ἔχθραν εἶχε πρὸς αὐτὴν μεγάλην· λέγουσα, φησὶ, διά τι ἀρ-

dineis accensam flammis, abripuerit: ob hanc causam, unum Cyclopi (Polyphemo scilicet,) ex oculis extinxisse dicitur, uti hæc enarravit Sapientissimus Phidias Corinthius: qui semper etiam addit, Euripidem hæc omnia Poëtice tradidisse, nec eadem de Ulissis erroribus, ac sapientissimus Homerus, perhibuisse.

Ulisses vero, à Sicilia solvens, ad Æolias pervenit insulas: quarum Rex, Æolus, hospitio eum excepit. Hic vero moriturus, insulas illas duas filiabus suis distribuit, quæ Reginæ illis imperitabant. Erat autem Circe solis sacerdos; quam pater Æolus à teneris annis Deo sacraverat, in templo ejus, ad Eeam quod erat insulam, enutriendam: ubi adolescentior facta, Mysticam Hierophantam profecit, egregiæ formæ virgo. Huic vero soror Calypso infensissima erat, odioque summo eam prosecuta est: Quare, (inquiens) Atlantem patrem

---

1. ταῖς θυγατράσιν αὐτοῦ] Hæc nullo modo congruere videntur; ideoque locum mutilum existimo. Infra enim eas Atlantis facit filias: Æolum quidem duodena prole gaudentem prædicat Quintus Smyrnæus, Νοστῶν lib. his verbis.

δώματ᾽ δ᾽ ἄγχιστα πέλονται
Αἰόλου Ἱπποτάδαο· κίχεν δέ μιν ἔνδον ἐόντα.
Σὺν τῇ ἀλόχῳ, καὶ παισὶ δυωκαίδεκα.

2. τῇ λεγομένῃ Εέᾳ] Scr. Αἰαίῃ. ita insulam hanc vocat Apollonius Rhod. Argonaut. l. 4.

Αὐσονίης ἀκτὰς Τυρσηνίδας εἰσορόωντες
Ἶξον δ᾽ Αἰαίης λιμένα κλυτόν. ἐκ δ᾽ ἄρα νηὸς
Πείσματ᾽ ἐπ᾽ ἠιόνων σχεδόθεν βάλον· ἔνθα δὲ Κίρκην
Εὗρον.

Æanam hanc vocat Tzetzes in Lycophron. κἀκεῖθεν δὲ πλέοντες, ἦλθον εἰς τὴν Αἰαίαν, νῆσον τῆς Κίρκης, ἥτις ἐθηριοποίει τοὺς ἀνθρώπους.

suum abnuens, Titanis solis scilicet filiam se venditat? Metuebat igitur Circe à Calypsone sorore, ne quando ab ea, ad iram commota, (ingens enim ei præsto erat in insula sua virorum strenuorum multitudo,) impetita, pessime haberetur. Itaque cavens sibi Circe, cum non aliter auxiliarios sibi, custodesque adsciscere potuisset, extractis herbarum quarundam viribus, Philtrum sibi potentissimum vi venefica paravit; cujus magisterium esset, ut haustu sumentibus, patriæ suæ oblivionem, & commorandi illic desiderium una incuteret. Pharmacum istud ubi eo convenientibus, quos plurimos hospitio excepit, advenis propinandum dedisset; patriæ suæ quisque oblitus, in insula hac exinde commorati sunt: Hoc igitur usa artificio, mulier quam multos ad se pellexit. Ubi vero inaudisset, Ulissis naves ad Insulam suam appulisse; in mandata suis dedit, uti ipsum, exercitumque ejus honorifice tractarent. Ulissem enim, sociosque, ut qui viri essent bellicosi, in societatem suam adsciscere cupiebat. Ulisses vero, ubi primum ad Circes insulam appulit, multos ibi vidit, diversarum gentium, homines peregrinos: quorum nonnullos,

νεῖται τὸν ἴδιον πατέρα τὸν Ἄτλαντα, καὶ λέγει ἑαυτὴν θυγατέρα Τιτᾶνος Ἡλίου; Καὶ ἐφοβεῖτο αὐτὴν ἡ Κίρκη, (ἐπειδὴ ἡ Καλυψὼ εἶχε πλῆθος ἀνδρῶν γενναίων ἐν τῇ ἰδίᾳ αὐτῆς νήσῳ·) μήποτε ὀργιζομένη ἐπέλθοι, καὶ κακῶς αὐτῇ χρήσεται. Λοιπὸν ἡ Κίρκη, ὡς μὴ δυναμένη τινὰς προσδέξασθαι εἰς συμμαχίαν, καὶ παρὰ φυλακὴν ἑαυτῆς, κατασκευάσασα διὰ βοτανῶν τινῶν φάρμακον, τοὺς παριόντας, φησὶ, ξένους ἐδεξιοῦτο, καὶ διὰ ποτοῦ δόσεως [1] ὑποταγὴν φίλτρου δεινοῦ, καὶ παραμονῆς, καὶ λήθης πατρίδος ἰδίας, τοὺς πίνοντας ξένους ἐποίει συνεῖναι αὐτῇ· καὶ πάντες αὐτῇ εἰς ὑπερβολὴν παρέμενον εἰς τὴν αὐτὴν νῆσον, ληθαργοῦντες τῆς ἑαυτῶν πατρίδος, καὶ συνῆγε πολλούς. Μαθοῦσα δὲ ἡ Κίρκη τὰ πλοῖα τοῦ Ὀδυσσέως ἐν τῇ αὐτῆς νήσῳ καταντῆσαι, ἐκέλευσε καὶ τοὺς ἰδίους δεξιώσασθαι σπουδαίως τὸν Ὀδυσσέα, καὶ τὸν αὐτοῦ στρατόν· ἠβούλετο γὰρ ἔχειν αὐτὸν, καὶ τοὺς αὐτοῦ, ὡς πολεμικοὺς, εἰς συμμαχίαν ἑαυτῆς. Ὁ δὲ Ὀδυσσεὺς, ἢ μόνον παρέλαβεν ἐν τῇ αὐτῆς νήσῳ, εἶδε πολλοὺς ἄνδρας ἐν τῇ αὐτῇ νήσῳ ἀπὸ διαφόρων πατρίδων· ἐπιγνοὺς δέ τινας ἄνδρας,

---

1. ὑποταγὴν φίλτρου δεινοῦ] locus mutilus: ἐμποιῶν αὐτοῖς, aut quid tale deesse videtur, ut sensus plenus sit.

ἃς

ἐκ τοῦ Ἀχαϊκοῦ ὄντας στρατοῦ, πρὸς αὐτὸν ἐληλυθότας, ἐπηρώτησεν αὐτοὺς, λέγων· τίνος χάριν ἐν τῇ νήσῳ ταύτῃ οἰκεῖτε; οἱ δὲ εἶπον αὐτῷ· ὅτι, ἐκ τοῦ Ἀχαϊκοῦ ὑπάρχομεν στρατοῦ· καὶ θαλαττίων κυμάτων βίᾳ προσεπελάσαμεν τῇ νήσῳ ταύτῃ, καὶ πόμα λαβόντες μαγικὸν ὑπὸ τῆς βασιλίδος Κίρκης, ἔρωτι δεινῷ βληθέντες εἰς αὐτὴν, ταύτην ἔχομεν νῦν πατρίδα· ἐξειπόντες καὶ ἄλλα τινά. Καὶ ταῦτα ἀκηκοὼς ὁ Ὀδυσσεὺς, συνάξας πάντας τοὺς ἰδίους αὐτοῦ, ἐκέλευσεν αὐτοὺς μηδενὸς μετασχεῖν τῶν ἐπιδιδομένων αὐτοῖς παρὰ τῆς Κίρκης, εἴτε βρωμάτων, εἴτε πομάτων, διὰ τὸ μαγγανείαν τινὰ ἔχειν αὐτά· ἀλλὰ ἐκ τῆς παρασχεθείσης αὐτῷ ἐκ τοῦ Αἰόλου βασιλέως σιταρχίας, καὶ τῶν πρώην ὄντων ἀποθέτων ἐν τοῖς πλοίοις βρωμάτων τε καὶ πομάτων, ἐξ αὐτῶν μεταλαμβάνειν. Τῆς δὲ Κίρκης προσενεγκούσης αὐτῷ, καὶ τῷ στρατῷ αὐτοῦ. καὶ τοῖς ναύταις τροφὰς βρωμάτων καὶ πομάτων οὐκ ἐδέξαντο παρ' αὐτῆς τὸ παράπαν. Καὶ μαθοῦσα τοῦτο ἡ Κίρκη, ὑπέλαβεν εἰδέναι τὸν Ὀδυσσέα τινὰς μυστικὰς μαγείας, καὶ προγνόντα αὐτῆς τὰ βουλεύματα· καὶ πέμψασα μετεστείλατο αὐτὸν ἐν τῷ ἱερῷ, καὶ ἦλθε πρὸς αὐτὴν, μετὰ ὁπλικῆς βοηθείας, καὶ ὑπονοίας Ἀχαϊκῆς, ἀγαγὼν αὐτῇ δῶρα Τρωϊκά. Ἡ δὲ ἑωρακυῖα αὐτὸν, καὶ τοὺς μετ' αὐτοῦ, ᾔτησεν αὐτὸν προσμεῖναι τῇ νήσῳ, ἄχρις οὗ διέλθῃ ὁ τοῦ χειμῶνος

qui ex Græcorum exercitu fuerunt, recognoſcens ſibi appropinquantes; Quid (inquit) vobis in cauſa eſſet, ut ſedes veſtras in hac inſula poneretis? Tum illi: Nos, inquiunt, ex Græcorum ſumus exercitu: verum tumultuoſis undarum procellis jactati, inſulam hanc appulimus; ubi ex hauſtu quodam Magico, quem Regina Circe nobis propinandum dedit, incredibili ejus amore correpti, inſulam hanc nunc habemus patriam. Hæc, atque alia retulerunt: quibus auditis, Uliſſes, convocatis ad ſe ſuis omnibus, in mandata illis dedit; ut de eo quod ſupererat annonæ, quam Rex Æolus illis ſuppeditaverat, commeatuque, quem navigiis olim repoſuerant, quiſque ſibi, ubi opus fuerit, ſumeret in victum: de iis autem, quæ, veneficiis incantata, comedenda illis, vel bibenda Circe traderet, omnino nihil deſumerent. Circe vero ubi hæc intellexiſſet, rata Uliſſem, artis Magicæ non ignarum, conſilia ſua præſenſiſſe; ad Fanum eum accerſendum curavit. Accerſitus ille, exercitu ſuo ſtipatus, Græcaque ſua fretus confidentia, accedit, munera Trojana Reginæ adferens. Circe vero, ubi Uliſſem, ſocioſque conſpexit; rogavit eum, uti inſulam hoſpes teneret, uſque dum tempus hibernum præſtiterit: interpoſito etiam ibidem juramento, inviolatum

ſe

μιζόμενοι· ἀλλὰ ἀλλοιούμενοι τὰς μορφὰς, καὶ τῷ σώματι ὡς θηριόμορφοι γίνονται, καὶ τῇ θέᾳ, καὶ τοῖς τρόποις, ἐπερχόμενοι τοῖς ἀντεραστᾶις. Φυσικὸν γὰρ τοὺς ἀντεραστὰς ὁρᾷν ἀλλήλους ὡς θηρία, καὶ πρὸς ἀλλήλους ἐπερχομένους ἄχρις φόνου. 1 Οἱ καὶ διαφόρους ἔχουσι πρὸς τοὺς τῆς τοιαύτης ἐπιθυμίας τρόπους· οἱ μὲν γὰρ, ὡς κύνες, ἐπέρχονται τῇ μίξει, πολλὰ συμμιγνύμενοι· οἱ δὲ, ὡς λέοντες, τὴν ὁρμὴν καὶ μόνην τὴν ἐπιθυμίαν ζητοῦσιν. ἄλλοι δὲ, ὡς ἄρκτοι, μιαρῶς κέχρηνται τῇ συνουσίᾳ. καὶ μᾶλλον σαφέστερον τούτων, 2 καὶ ἀληθινότερον 3 ἑρμηνεύσεν ἐν τῇ ἰδίᾳ ἐκθέσει.

sed humanam exuti speciem, corpora, formas, & mores etiam belluinos præ se ferunt, dum proci mulieribus inhiant. Illud etiam à Natura est, ut Rivales belluino impetu in se invicem ferantur, ad exilium usque se invicem impetentes. Verum cupiditatibus hisce non uno modo se habent, lascivientes: alii, enim, canum more, frequentius coeunt alii, leones quod solent, ipsum præsentis pruritus impetum solummodo explere sibi quærunt: alii denique, sicut ursi, turpiter coeunt, conspurcantes sese: uti hæc pluribus enarravit, juxta rei veritatem, Auctor iste, in scriptis suis.

Ἀπὸ δὲ τῆς νήσου τῆς Κίρκης 4 ἐξωρμήσας ὁ Ὀδυσσεὺς, ἀνήχθη εἰς τὴν ἄλλην νῆσον, ὑπὸ ἀνέμων ἐναντίων ἐκριφείς· ὅντινα ἐδέξατο καὶ ἡ Καλυψὼ, ἡ ἀδελφὴ τῆς Κίρκης· καὶ πολλῆς θεραπείας ἠξίωσεν αὐτὸν, συμμιγεῖσα αὐτῷ καὶ πρὸς γάμον. Κἀκεῖθεν ἀνήχθη, ἔνθα λίμνη ὑπῆρχε μεγάλη, πλησίον τῆς θαλάσσης, 5 λεγομένη ἡ Νεκυόπομπος· καὶ οἱ οἰ-

Ulisses vero à Circis insula solvens, adverso mari jactatus, in insulam illam alteram delatus est: ubi à Calypsone, Circis sorore, honorifice exceptus, consuetudinem etiam cum ea habuit. Delatus inde, ad stagnum ingens, Necyopompum vocatum, prope mare situm, pervenit. Hujus incolæ, qui vaticiniis præ-

1. οἱ καὶ διαφόρους ἔχουσι] Forte legendum, διαφόρως ἔχουσι.

2. καὶ ἀληθινότερον] Scr. ἀληθινώτερον

3. ἑρμηνεύσεν] Scr. ἡρμήνευσεν.

4. ἐξωρμήσας ὁ Ὀδυσσεὺς] Scr. ἐξορμήσας.

5. λεγομένη ἡ Νεκυόπομπος] Lacum hunc, Νεκυόπομπον, vocat Cedrenus: εἶτα εἰς λίμνην τὴν καλουμένην Νεκυόπομπον, ἐν ᾗ διὰ φαντασμάτων ἔγνω τὰ μέλλοντα συμβαίνειν αὐτῷ. Dictys Cret. rem narrans, de loci nomine silet. *Inde liberatus, pervenerit ad eum locum, in quo exhibitis quibusdam sacris futura defunctorum animis dignoscerentur.* Νέκυες, idem quod νεκροὶ, teste Hesychio. Mercurius etiam, Νεκρόπομπος, id est, *Manium ductor*, Luciano dictus: quia Manibus ad inferos ducendis præest. Atque iste Ulissis cum magis hisce congressus, ejus ad Inferos descensus est apud Mythologos.

cellebant, omnia quæ ei acciderant, quæque eventura erant aperuerunt. Inde solvens, sæviori maris impetu agitatus, ad Serenidas quas vocant rupes ferebatur: quæ fluctuum ex allisione, sonitum quendam peculiarem efficiunt. Has cum evasisset, ad Charybdin quem vocant sinum delatus, incidit ibi in loca prærupta, & scopulis aspera: ubi residuis navibus, exercituque in mari demersis, solus ipse navis tabulæ insidens, pelago fluctuabat, mortem miseram nunquam non expectans. Verum præternavigantes illac Phœnices, videntes illum marinis undis fluctuantem, misericordia moti, fluctibus eripuerunt: & in Cretam insulam adductum, Idomeneo, Græcorum ex ducibus, tradiderunt. Idomeneus ubi Ulissem conspexit, nudum, atque indignum; summopere misertus ejus, muneribus abunde donatum, Duce etiam exercituque, & navibus duabus, & satellitibus quibusdam instructum, Ithacam

κοῦντες ἐν αὐτῇ ἄνδρες, μάντεις. οἵτινες ἐξεῖπον αὐτῷ πάντα τὰ συμβάντα αὐτῷ, καὶ τὰ μέλλοντα. Καὶ ἀναχθεὶς ἐκεῖθεν, χειμῶνος μεγάλου γενομένου θαλάσσης, ἐκπίπτει [1] εἰς τὰς Σερηνίδας οὕτω καλουμένας πέτρας· αἳ ἐκ τῶν κρουσμάτων τῶν κυμάτων, ἦχον ἀποτελοῦσιν ἴδιον. Κἀκεῖθεν ἐξειλήσας, ἦλθεν εἰς τὴν καλουμένην Χάρυβδιν, εἰς τόπους ἀγρίους καὶ ἀποτόμους· κἀκεῖ πάσας τὰς ὑπολειφθείσας αὐτῷ ναῦς, καὶ τὸν στρατὸν ἀπώλεσεν· αὐτὸς δὲ ὁ Ὀδυσσεὺς μόνος ἐν σανίδι τοῦ πλοίου ἐν τῷ πελάγει ἐφέρετο, ἀναμένων τὸν μετὰ βίας θάνατον. Τοῦτον δὲ ἑωρακότες τινὲς ἀποπλέοντες ναῦται Φοίνικες νηχόμενον ἐν τοῖς ὕδασιν, ἐλεήσαντες διέσωσαν, καὶ ἤγαγον αὐτὸν ἐν τῇ Κρήτῃ νήσῳ, πρὸς τὸν Ἰδομενέα, ἔξαρχον Ἑλλήνων. Καὶ ἑωρακὼς τὸν Ὀδυσσέα ὁ Ἰδομενεὺς γυμνὸν, καὶ δεόμενον, συμπαθῶς φερόμενος, δῶρα αὐτῷ πλεῖστα δεδωκὼς, σὺν στρατῷ, καὶ στρατηγῷ αὐτοῦ, καὶ δύο νῆας, [2] καὶ διασώζοντας αὐτόν τινας, ἐξέπεμψεν

1. εἰς τὰς Σερηνίδας] Σειρῆνας vocant Cedrenus, & Isac. Tzetzes.

2. καὶ διασώζοντας αὐτόν τινας,] διασώζοντες hic, pro ὁδηγοῖς, viæ ducibus, aut stipatoribus satellitibus custodibus, usurpatur: ita etiam infra, in Joviano Imp. p. 321. ἔλαβε μεθ' ἑαυτοῦ ὁ βασιλεὺς Ἰοβιανὸς ἕνα τῶν σατραπῶν &c. εἰς τὸ διασῶσαι αὐτὸν, καὶ τὰ ἐξπέδιτα αὐτοῦ, ἐκ τῆς Περσικῆς χώρας. Constantin. Porphyrogen. de Administrand. Imper. cap. 7. ἡνίκα πορεύσῃ βασιλικὸς εἰς Χερσῶνα ἕνεκα τῆς τοιαύτης διακονίας, ὀφείλει εὐθὺς ἀποστέλλειν εἰς Πατζινακίαν, καὶ ἐπιζητεῖν ὁμήρους παρ' αὐτῶν, καὶ διασώστας &c. Diasostes etiam à Latinis recentioribus, pro Itineris duce frequenter occurrit. Luitprand. Legat. ad Nicephor. ad finem: *Michael vocatus est & Diasostes meus, &c.*

αὐτὸν εἰς Ἰθάκην. ἅπερ καὶ ὁ σοφὸς Δίκτυς, παρὰ τοῦ Ὀδυσσέως ἀκηκοώς, συνεγράψατο.

Ὁμοίως δὲ καὶ ὁ Διομήδης, λαβὼν τὸ Παλλάδιον, ἐξώρμησεν ἀπὸ τῆς Τροίας, εἰς τὴν ἰδίαν πατρίδα.

Ὁ δὲ Ἀγαμέμνων, ἔχων τὴν Κασσάνδραν ἣν ἐπόθει, ἐπέρασε τὸ τοῦ Ῥόδου πέλαγος, βουλόμενος ἐπὶ Μυκηναίων πόλιν ὁρμῆσαι.

Λοιπὸν ὁ Πύῤῥος ἑωρακὼς πάντας ἀποπλεύσαντας, πυρώσας τὸν Τελαμώνιον Αἴαντα, καὶ ¹λαβὼν ἐν ὑδρίαν, ἔθαψε μετὰ τιμῆς μεγάλης, πλησίον τοῦ τύμβου τοῦ Ἀχιλλέως τοῦ ἐξαδέλφου αὐτοῦ, πατρὸς δὲ τοῦ Πύῤῥου, ²εἰς τόπον λεγόμενον Σίγειν.

Ὁ δὲ Τεῦκρος ὁ ἀδελφὸς τοῦ Αἴαντος τοῦ Τελαμωνίου, κατέφθασεν ἐλθὼν ἀπὸ τῆς Σαλαμῖνος, πόλεως τῆς Κύπρου, πρὸς βοήθειαν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ εὗρε τὸν Πύῤῥον. Καὶ μεμαθηκὼς παρ' αὐτοῦ τὰ συμβάντα, ἀκούσας δὲ καὶ ³τὴν γινομένην τιμὴν τῶν λειψάνων τοῦ Αἴαντος, ἐπαινῶν, καὶ ἐπευχόμενος τῷ Πύῤῥῳ, ἔφη· οὐδὲν ξένον πεποίηκας· ἐκείνης γὰρ τῆς Ἀχιλλέως θείας φρενὸς ὑπάρχεις υἱός. Λείψανα γὰρ τῶν ἀγαθῶν ἀνδρῶν ἀφαιρεῖται ὁ χρόνος, ἡ δὲ ἀρετὴ καὶ θανοῦσα λάμπει. Καὶ παρακαλεῖ

demisit: uti hæc sapiens Dictys, ab Ulisse ipso edoctus, memoriæ mandavit.

Consimiliter etiam Diomedes, accepto secum Palladio, Trojam reliquit, in patriam suam reversurus.

Agamemnon vero Cassandra, quam amabat, potitus, trajecto Rhodiorum pelago, Mycenas suas repetivit.

Pyrrhus autem, ubi cæteros omnes discessisse animadvertit; ipse Ajacis Telamonii cineres in urnam repositos, ad Sigrin quam vocant, prope tumulum Achillis, Pyrrhi patris, Ajacis autem patruelis, honorifice recondidit.

Teucrus autem, Ajacis Telamonii frater, qui ejus in auxilium ex Salamine, Cypri urbe advenerat; in Pyrrhum incidens, edoctusque ab eo de eis quæ acciderant; certior etiam factus, quanto ille cum honore Ajacis reliquias terræ mandaverat, laudavit Pyrrhum; & Fausta ei omnia precatus, "Nihil, inquit, non te dig- "num fecisti; qui divinæ il- "lius Achillis Mentis hæres "es. Nempe Heroum Reli- "quias ævum absumit: ast "splendet post funera Virtus." Tum vero Pyrrhus Teucrum

---

1. καὶ λαβὼν ἐν ὑδρίαν] Scr. ὑδρίᾳ.

2. εἰς τόπον λεγόμενον Σίγειν] Rheteum vocat hunc locum Dictys Cret. *Interim Neoptolemus, advecta ligni materia, Ajacem cremat: reliquiasque urna conditas, in Rhetæo sepeliendas procurat.*

3. τὴν γινομένην τιμὴν] Scr. γενομένην.

rogavit, uti secum cœnaret. Inter cœnandum vero eum rogavit Pyrrhus, (cui genere etiam conjunctus erat,) uti altius ab origine rem repetens, quæ patri suo acciderant enarraret omnia; nihil adhuc certi de his accepisse se asserens: His itaque Teucrus exorsus est.

Victoriam illam, quam Achilles de Hectore reportavit, nulla ætas oblivioni datura est: qui ubi audisset, Hectorem de nocte Penthesileæ Reginæ obviam iturum, præoccupato ejus itinere, se suosque in insidiis collocavit; Hectoremque, cum suis omnibus, flumen trajicientibus, internecioni dedit; unico dempto, quem stragi superesse voluit, manibus abscissis, Priamo remittendum, cui Hectoris mortem annunciaret. Pater autem tuus ante lucem, Græcis interim quæ acciderant omnia nescientibus, Hectoris intermortuum corpus, currui alligatum, & ab equis, quos ipse cum Automedonte agitavit, circumtractum, quam potuit maxime ad terram allisit. Priamus autem audito Hectoris fato, ejulare, cum suis omnibus: tantusque est in Trojano populo clamor editus, Græcis interim triumphum suum clamoribus reciprocis celebrantibus, ut Volucres etiam Cœli consternarentur. Tum vero statim obseratæ sunt Ilii portæ. Pater autem tuus, instituto certaminis festo, Duces,

ὁ Πύῤῥος τὸν Τεῦκρον ἅμα αὐτῷ μεταλαβεῖν βρωτοῦ καὶ ποτοῦ. Καὶ ἐν τῷ συμποσίῳ, ὡς ὄντα ἐκ τοῦ ἰδίου γένους, τὸν Τεῦκρον ὁ Πύῤῥος ᾔτει διηγήσασθαι αὐτῷ πάντα ἐξ ἀρχῆς τὰ συμβάντα τῷ αὐτοῦ πατρὶ, φήσας ἀγνοεῖν τὸ ἀκριβές. Ο δὲ Τεῦκρος ἤρξατο λέγειν οὕτως.

Ο πᾶς αἰὼν οὐκ ἐξαλείψει τὴν Αχιλλέως κατὰ Εκτορος νίκην· ὃς μαθὼν Εκτορα νυκτὸς βουλόμενον ἀπαντῆσαι τῇ βασιλίδι Πενθεσιλείᾳ, προποιήσας λάθρα, ἅμα τῷ ἰδίῳ στρατῷ, καὶ ἑαυτὸν σὺν αὐτοῖς ἀποκρύψας, τὸν ποταμὸν διαβαίνοντα τὸν Εκτορα κτείνει, καὶ ἅπαντας τοὺς αὐτῷ ἑπομένους, ἕνα μόνον καταλιπὼν ζῶντα· ὅντινα χειροκοπήσας, Πριάμῳ ἔπεμψεν ἀγγελοῦντα τὸν Εκτορος θάνατον. Καὶ τὰ συμβάντα μηδενὸς τῶν Ελλήνων γνόντος, ἤγαγε τὸ τοῦ Εκτορος λείψανον εἰς δάπεδον πρὸ αὔγους· καὶ ἐν δίφρῳ ἀναρτήσας αὐτὸν, τοὺς ἵππους ἐλαυνόμενος Αὐτομέδοντος σὺν αὐτῷ, μαστιγόπληκτον αὐτοῦ τὸ σῶμα ὁ σὸς γενέτης ποιῶν οὐκ ἐπαύετο. Ακούσας δὲ Πρίαμος τὸν τοῦ Εκτορος μόρον, ὠλόλυξε, καὶ πάντες σὺν αὐτῷ· καὶ τοσαύτη βοὴ ἐγένετο ἐκ τοῦ πλήθους τῶν Τρώων, ὥστε καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ταραχθῆναι. Καὶ οἱ Ελληνες δὲ χαίροντες, ἀντιβόησαν ὁμοίως· καὶ κλείονται αἱ πύλαι τοῦ Ιλίου. Ο σὸς γενέτης ἐπετέλεσεν ἀγῶνος ἑορτὴν, τοῖς βασιλεῦσι, καὶ πᾶσι, πολλὰ φιλοτιμησάμενος·

σάμενος. Τῇ δὲ ἑξῆς ἡμέρᾳ ὁ Πρίαμος πένθιμον φορῶν σχῆμα, ἄξας μεθ' ἑαυτοῦ Πολυξένην, τὴν θυγατέρα αὐτοῦ, παρθένον, καὶ Ἀνδρομάχην, τὴν Ἕκτορος γυναῖκα, καὶ Ἀστυάνακτα, καὶ Λαοδάμαντα, υἱοὺς αὐτοῦ νηπίους, παραγίνεται πρὸς τοὺς Ἕλληνας, ἀγαγὼν μεθ' ἑαυτοῦ καὶ κόσμον πολὺν, καὶ χρυσὸν, καὶ ἄργυρον, καὶ ἐσθῆτα. οὔσης δὲ σιγῆς ἐν τοῖς ἡγεμόσι τῶν Ἑλλήνων, πλησίον δὲ αὐτοῦ γενομένου, ἐθαύμαζον πάντες τὴν ἀποτολμίαν τοῦ αὐτοῦ Πριάμου· καὶ ἀπαντῶσιν αὐτῷ, βουλόμενοι μαθεῖν τὴν αἰτίαν τῆς ἀφίξεως. Ἑωρακὼς δὲ αὐτοὺς ὁ Πρίαμος, [1] ἑαυτὸν εἰς τὸ ἔδαφος ῥίψας, κόνιν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ φέρων, καὶ δεόμενος αὐτῶν, συνικέτας γενέσθαι πρὸς τὸν Ἀχιλλέα ὑπὲρ τοῦ σώματος τοῦ Ἕκτορος. Οἰκτείρει δὲ αὐτὸν Νέστωρ, καὶ Ἰδομενεὺς, αὐτῷ γενέσθαι συνικέτας πρὸς τὸν Ἀχιλλέα ὑπὲρ τοῦ σώματος τοῦ Ἕκτορος· οἵτινες ἐδυσώπησαν τὸν σὸν πατέρα περὶ τοῦ Πριάμου. Καὶ ἐκέλευσεν αὐτὸν εἰσελθεῖν εἰς τὴν σκηνὴν αὐτοῦ· ὁ δὲ Πρίαμος εἰσελθὼν [2] ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ πλωτὸς, ἱκετεύων· ὡσαύτως δὲ καὶ Ἀνδρομάχη, σὺν τοῖς παισίν· ἡ δὲ Πολυξένη, περι-

exercitumque totum muneribus plurimis donavit. Priamus autem die ſequente, veſte indutus lugubri, & aſſumpta ſecum filia Polyxena, virgine innupta, & Hectoris uxore Andromache, cum filiolis ejus duobus, Aſtyanacte, & Laodamante, Græcos adiit, adferens ſecum, præter veſtes, & Ornamenta, auri quoque, & argenti plurimum. Priamo autem appropinquante, ſilentium derepente Græcorum Ducibus oboriebatur, Priami fiduciam admirantibus. Tum vero obviam ei procedebant, adventus cauſam ſciſcitaturi: quos Priamus ubi conſpexit, ad terram procidens, pulveremque in capite geſtans, obteſtabatur eos, uti ſecum precatores Achillem interpellarent, de Hectoris corpore reddendo. Cujus miſerti Neſtor, & Idomeneus, precibus ejus annuerunt; Achillemque, uti Hectoris corpus redderent, ſollicitarunt. Pater vero tuus eorum precibus motus, Priamum in tentorium accerſit: ingreſſus autem Priamus, Achilli ſupplex ad pedes, una cum Andromache, filiiſque ejus, procidebat. Polyxena vero patris tui pedes amplexa, ul-

1. ἑαυτὸν εἰς τὸ ἔδαφος ῥίψας] mallem, ἔρριψε.

2. ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ πλωτὸς] *ad pedes ejus cecidit pronus*, id eſt, membris natantium more explicatis; duriuſcula licet vocabuli tranſlatione: niſi quis, πρωτὸς, reponendum cenſeat: quod & Gregorio noſtro viſum eſt. Cedrenus habet, πάντας ἱκέτους προκυλινδούμενος ad pedes eorum provolutus.

tro ſpondebat, ſe, modo fratris corpus redderet, in perpetuum ei ſubſervituram. Tum qui aderant Duces, Priami ſenectutis miſerti, pro eo fiunt ſupplices. Parens autem tuus; "Oportuerat, inquit, Priamum filios ſuos maturius coercuiſſe, neque ſe ſceleris eorum dediſſe participem. Verum tenebat eum rerum alienarum Cupido: nec tam Helenam uxorem, quam Pelopis, & Atrei divitias appetebat ſibi. Male igitur à vobis factorum pœnas date; veſtroque exemplo habeant hæc ſibi Græci, Barbarique in documentum.

Duces autem ſuadebant, uti accepto redemptionis pretio, cadaver illis concederet. Hic vero vitæ jucunda ſecum reputans, Priamum, Polyxenam, & Andromachen in pedes erigit; Priamo præterea mandans, ubi lavaſſet, uti panem, vinumque apud ſe ſumeret; non aliter ei corpus traditurum ſe, minatus. Priamus autem, inter ſpem metumque futuri ſuſpenſus; à Polyxena ſuſtentatus, humiliter intravit, cibum & potum cum patre tuo capturus. Ubi multis invicem ſermone agitatis, ſurgebant tandem; redemptioniſque pretium in medio poſitum eſt. Videns autem A-

πλακεῖσα τοῖς ποσὶ τοῦ σοῦ γενέτου περὶ τοῦ σώματος ἀδελφοῦ Ἕκτορος, δουλεύειν ἐπαγγειλαμένη, καὶ μένειν σὺν αὐτῷ, εἰ ἀποδῷ τὸν νεκρόν. Οἱ δὲ βασιλεῖς τὸ γῆρας αὐτοῦ οἰκτείραντες, παρεκάλουν ὑπὲρ Πριάμου. Ὁ δὲ σὸς γενέτης Ἀχιλλεὺς πρὸς αὐτοὺς ἔφη· "κρατεῖν αὐτὸν ἐξ ἀρχῆς ἔδει τῶν παίδων, καὶ μὴ συνεξαμαρτάνειν· Ἀλλ' εἶχεν αὐτὸν ἔρως τῶν ἀλλοτρίων χρημάτων· οὐ γὰρ Ἑλένης γυναικὸς τὴν ἐπιθυμίαν εἶχεν, ἀλλὰ τῶν Ἀτρέως, καὶ Πέλοπος χρημάτων τὸν πόθον εἶχε. Δότε οὖν δίκας ἀνθ' ὧν ἠσεβήσατε· σωφρονιζέσθωσαν οὖν δι' ὑμᾶς, Ἕλληνες, καὶ Βάρβαροι.

Ὁ δὲ πείθουσιν αὐτὸν, λύτρα λαβόντα, τὸν νεκρὸν παραχωρῆσαι· ὁ δὲ, [1] τὰ τοῦ βίου τερπνὰ ἐννοήσας, τὸν Πρίαμον ἀνίστησι, καὶ Πολυξένην, καὶ Ἀνδρομάχην· καὶ κελεύει τῷ Πριάμῳ λούσασθαι, καὶ σίτου, καὶ οἴνου γεύσασθαι ἅμα αὐτῷ, ἄλλως γὰρ οὐκ ἂν παραχωρήσειν αὐτῷ τὸν νεκρόν· ὁ δὲ Πρίαμος φόβῳ κατεχόμενος, καὶ ἐλπίδι τῶν μελλόντων, ταπεινῶς παραγίνεται, ὑπὸ Πολυξένης παρακρατούμενος, πρὸς Ἀχιλλέα τὸν σὸν γενέτην, καὶ βρωτοῦ καὶ ποτοῦ μετέσχε· καὶ πολλῶν λαληθέντων, ἀνέστησαν· καὶ τεθέντων τῶν λύτρων ἐπὶ τῆς γῆς, ἰδὼν ὁ Ἀχιλλεὺς τὸ πλῆθος τῶν δώρων, τόν τε χρυσὸν, καὶ

1. τὰ τοῦ βίου τερπνὰ ἐννοήσας] ita etiam infra, in Romulo: τῆς τοῦ βίου ἡδονῆς ἐπιθυμήσας.

τ̃ ἄργυρον δέχεται, καὶ ἐκ τοῦ ἱματισμοῦ μέρος· τὰ δὲ λοιπὰ Πολυξένῃ χαρισάμενος, ἀπέδωκε τὸν νεκρόν. ὁ δὲ Πρίαμος παρακαλεῖ τὸν Ἀχιλλέα, Πολυξένην παρ' αὐτῷ καταλιπεῖν· ὁ δὲ εἶπεν αὐτῷ εἰς τὸ Ἴλιον αὐτὴν ἀγαγεῖν, εἰς ἄλλον καιρὸν τὰ κατ' αὐτὴν ἀναβαλλόμενος.

Ὁ δὲ Πρίαμος ἀνελθὼν εἰς τὸ ὄχημα, ἔχων τὸ σῶμα τοῦ Ἕκτορος, ἅμα τοῖς σὺν αὐτῷ εἰς τὴν πόλιν εἰσῆλθε· καὶ πυρώσαντες τὸ σῶμα τοῦ Ἕκτορος, θάπτουσιν αὐτὸν ἔξω παρὰ τὸ τεῖχος τοῦ Ἰλίου, πενθήσαντες αὐτὸν πικρῶς.

Καὶ ἐν τῷ μεταξὺ παραγίνεται ἡ Πενθεσίλεια, ἐκ [1] τῆς ἀντιπέραν Χερονήσου, πολὺ πλῆθος ἐπαγομένη Ἀμαζόνων, [2] κατ' ἀνδρῶν γυναίων. Μαθοῦσα δὲ Ἕκτορα ἀναιρεθέντα, ὑποστρέφειν ἠπείγετο· Πάρις δὲ τοῦτο μαθὼν, ἔπεισεν αὐτὴν μένειν, χρυσὸν δοὺς αὐτῇ πολύν. Ἀνεθεῖσα δὲ μετὰ τοῦ ἰδίου στρατοῦ, μεθ' ἡμέρας ὀλίγας ὁπλισαμένη σὺν τῷ πλήθει, ἐξέρχεται ἐπὶ τὸ πεδίον. Διαιρεθέντος δὲ τοῦ στρατοῦ αὐτῆς εἰς δύο μέρη, ἵστανται οἱ μὲν τοξόται τὸ δεξιὸν λαβόντες μέρος, οἱ δὲ ὁπλῖται πεζοί, πλείω τῶν ἱππέων ὄντες, [3] τὸ μέσον ἔχοντες τόπον· ἡ δὲ Πεν-

chilles donorum multitudinem, acceptis ſibi auro, & argento, veſtibuſque aliquot, reliqua Polyxenæ, una cum cadavere reddidit. Roganti autem Priamo, uti Polyxenam quoque ſibi ſervaret; Achilles illam in urbem ſecum deducere juſſit Priamum; hac de re cum eo alias acturus.

Priamus itaque currum conſcendens, Hectoriſque cadaver ſecum ferens, urbem cum ſuis repetit: ubi in cineres, converſum corpus, juxta Ilii muros extra urbem magno cum luctu, recondiderunt.

Interim vero, ex oppoſito Cherſoneſo aderat Penthesilea, Amazonum, & bellicoſorum virorum exercitu numeroſo ſtipata. Certior autem facta de Hectoris morte, in reditum protinus ſe parat: verum Paris, hoc audito, auro multo eam de inſtituto ſuo dimovebat. Illa igitur, cum ſe ſuoſque paucos per dies refeciſſet; copiis tandem ſuis inſtructa, in campum progreſſa eſt. Diviſo autem in partes duas exercitu, ſagittarii ad dextram ſteterunt: pedites autem gravis armaturæ, quos Equitibus plures habuit, ad lævum collocavit; equitibus

1. τῆς ἀντιπέραν Χερονήσου] Scr. Χεῤῥονήσου.

2. κατ' ἀνδρῶν γυναίων.] Scr. καὶ ἀνδρῶν γ'.

3. τὸ μέσον ἔχοντες τόπον] Scr. τὸν μέσον ἔχοντες τόπον: ſed locum iſtum aliter mendoſum ſuſpicor, & pro, μέσον, λαιὸν reponendum cenſeo, uti habet Cedrenus: διχῆ δὲ τῆς αὐτῆς διελοῦσα στρατιὰν, καὶ ἐν δεξιᾷ μὲν αὐτῆς τοὺς τοξότας, τῷ λαιῷ δὲ μέρει τοὺς ὁπλίτας πεζοὺς, πλείους τῶν ἱππέων ὄντας ἐκτάξασα, ἡ Πενθεσίλεια μέσον τῶν ἱππέων ἦν ἐν τῷ σίγνῳ.

in

in medio positis: inter quos ipsa, cum signo, constitit. Acies vero Græcorum ita ordinata est, ut sagittariis hostium Ego Teucrus Menelaus, Meriones, Ulisses; gravis au- autem armaturæ peditibus, Diomedes, Agamemnon, Tlepolemus, Jalmenus, & Ascalaphus opponeremur: Equitibus vero pater tuus Achilles, Ajax uterque, Idomeneus, Philocletes, cæterique Duces cum suis pugnam dederunt. Et quidem Ego Teucrus plurimos interfeci, adeo ut strenuum me virum omnes perhibuerint. Gravis autem armaturæ milites Ajaces, medii in eos irrumpentes, profligarunt. Pater autem tuus, medius inter eos, Reginæ ipsi invigilans, occasionem venabatur, quomodo eam, acriter sane pugnantem, è medio tolleret. Itaque propius ei accedens, hasta eam impetebat; & ex equo deturbatam, dum in casu erat, coma arreptam distrahebat Cadentem vero eam videntes reliqui ex exercitu ejus, fugam omnes capessebant. Cumque urbis portæ à Trojanis obseratæ fuissent, uti omnem aufugiendi spem suis adimerent; nos, hostium reliquias insecuti, sub ipsis urbis mœnibus trucidavimus; ab Ama-

θεσίλεια μέσον τῶν ἱππέων ὑπῆρχε, σὺν τῷ σίγνῳ. Καὶ λοιπὸν οἱ Δαναοὶ τάξαντες ἑαυτοὺς, ἀνθίστανται· τοῖς μὲν τοξόταις ὁ Μενέλαος, κἀγὼ Τεῦκρος, καὶ Μηριόνης, καὶ Ὀδυσσεύς· τοῖς δὲ ὁπλίταις Διομήδης, Ἀγαμέμνων. Τληπόλεμος, καὶ Ἰάλμενος, καὶ Ἀσκάλαφος· τοῖς δὲ ἱππεῦσιν ὁ σὸς γενέτης Ἀχιλλεὺς, καὶ οἱ Αἴαντες οἱ δύο, καὶ ὁ Ἰδομενεὺς δὲ, καὶ ὁ Φιλοκτήτης, καὶ οἱ λοιποὶ ἡγεμόνες ἅμα τοῖς αὐτῶν στρατοῖς. Καὶ κλείνω ἐγὼ Τεῦκρος πολὺ πλῆθος, ὥστε ἐπαινεθῆναί με, ὡς ἀριστεύσαντα· τοὺς δὲ ὁπλίτας ἀφανίζουσιν οἱ Αἴαντες, ἐν μέσῳ αὐτῶν εἰσελθόντες. ὁ δὲ σὸς πατὴρ Ἀχιλλεὺς μεταξὺ αὐτῶν ὑπάρχων, ἀπεβλέπετο τὴν Πενθεσίλειαν, ζητῶν ἀποκτεῖναι αὐτὴν, μαχομένην πικρῶς. Καὶ πλησίον ἵππου αὐτῆς φθάσας, δόρατι κρούσας αὐτὴν, ἀπὸ τοῦ ἵππου καταβάλλει· καὶ ἔτι ζῶσαν αὐτὴν ἕλκει πεσοῦσαν ἐκ τῆς κόμης. Καὶ ἑωρακότες αὐτὴν πεσοῦσαν οἱ λοιποὶ τοῦ στρατοῦ αὐτῆς, εἰς φυγὴν ἐτράπησαν· τῶν δὲ Τρώων τὰς πύλας κλεισάντων διὰ τοὺς φεύγοντας, οἱ Ἕλληνες ἡμεῖς τοὺς περιληφθέντας ἀποσφάξαντες, παρὰ τὸ τεῖχος κλεινόμενοι, ἀπεχόμενοι τῶν γυναικῶν Ἀμαζό-

1. τοὺς δὲ ὁπλίτας ἀφανίζουσιν οἱ Αἴαντες] legendum ex præcedentibus videtur, τοὺς δὲ ἱππεῖς: Equitibus enim Ajaces opposuit. Dictys tamen, unde forte hæc sumpta, Peditibus eos adversos statuit: *Pedibus* (leg. Peditibus) *Ajaces duo, Diomedes, Agamemnon, & Tlepolemus, & cum Jalmeno Ascalaphus opponerentur*: de bel. Tro. l. 4.

νων·

γων ἅς τινας ὁ στρατὸς ἅπας διαμερίσας, ἐμερίσατο. Τῆς δὲ Πενθεσιλείας ἔτι ἐμπνεούσης, βουλὴ ἡμῖν ἐνέστη, ὥστε ζῶσαν εἰς τὸν ποταμὸν ῥιφῆναι, ἢ κυσὶν εἰς βρῶσιν παραδοθῆναι· ὁ δὲ Ἀχιλλεὺς ᾔτει ἡμᾶς θανοῦσαν ταφῆναι [1] καὶ γνόντα τὰ πλήθη, ἐφώνησαν εἰς τὸν ποταμὸν ῥιφῆναι· Καὶ εὐθέως ὁ Διομήδης ἐπιλαβόμενος αὐτῆς τῶν ποδῶν, εἰς τὸν Σκάμανδρον ποταμὸν βάλλει· καὶ θνήσκει παραχρῆμα.

Μετὰ δὲ ὀλίγας ἡμέρας [2] ὁ Τιθώνης ὀνόματι, ὑπὸ τοῦ Πριάμου παρακληθεὶς, παραγίνεται, ἄγων Ἰνδοὺς, ἐφίππους, καὶ πεζοὺς, καὶ φοίνικας μαχιμωτάτους μετ' αὐτῶν, καὶ τὸν βασιλέα αὐτῶν Πολυδάμαντα. Καὶ τοσοῦτον ὑπῆρχε πλῆθος, ὅσον οὐδὲ τὸ Ἴλιον, οὔτε τὸ δάπεδον ἅπαν ἐδέχετο. Καὶ διὰ ναυτικοῦ στόλου ἦλθον πολλοὶ Ἰνδοὶ, καὶ οἱ αὐτῶν βασιλεῖς· ἐδιοικοῦντο δὲ τασσόμενοι πάντες οἱ βασιλεῖς, καὶ πᾶς ὁ στρατὸς, ὑπὸ τοῦ δυνατοῦ Μέμνονος, βασιλέως Ἰνδῶν. Εἶχε δὲ ὁ Μέμνων μεθ' ἑαυτοῦ καὶ πλοῦτον πολὺν εἰς τὰς ναῦς. Καὶ ἀναπαύσαντες ἑαυτοὺς ἐξῆλθον εἰς τὸ δάπεδον, ξίφη παράξενα φοροῦντες, [3] καὶ σφενδόβολα, καὶ ἀσπίδας τετραγώνους. Καὶ σὺν αὐτοῖς μιγέντες [4] οἱ τοῦ Ἰλίου σύμμαχοι, καὶ οἱ Πριάμου παῖδες,

zonibus interim abstinentes; quas, in vincula conjectas, exercitus omnis inter se divisit. De Penthesilea autem ipsa anhelante adhuc, decretum à nobis erat, uti vel in flumen projiceretur; vel dilanianda canibus objiceretur: Cæterum postulabat Achilles, mortuam sepulturæ tradi: quo audito, in fluctus projici eam instabat exercitus. Diomedes itaque pedibus arreptam, in Scamandrum præcipitavit; ubi statim suffocata periit.

Paucis autem post diebus, advenit in suppetias, à Priamo vocatus, Tithon quidam; cumque eo Indi, pedites, equitesque; Phœnices etiam bellicosissimi, cum rege eorum Polydamante. Tanta autem erat multitudo eorum, ut nec Ilium; nec totus undique campus eam capere potuerit. Sed & navium quoque apparatu supervenerunt Indorum quamplurimi, cum Regibus. Totus autem exercitus, regesque, Memnonis Indorum regis sub auspiciis militabat, viri potentissimi, quique plurimis divitiis naves suas onustas habuit. Hi, ubi paululum se refecissent, in campum descenderunt; enses quisque Barbaricos, fundas, & quadrata scuta gestantes: quibus etiam se adjunxerunt commilitones Trojani, Priamique filii. Mem-

1. καὶ γνόντα τὰ πλήθη] Scr. γνόντα.

2. ὁ Τιθώνης ὀνόματι] Hunc Memnonem vocat Dictys Tithoni & Auroræ filium: ita etiam infra Auctor noster.

3. καὶ σφενδόβολα] magis Græce, σφενδόνας, dixerit.

4. οἱ τοῦ Ἰλίου.] Scr. Ἰλίου.

X non

non autem ipse curru vectus, in campum procedebat. Nos etiam Græci arma sumentes, mala interim omnia nobismet ominantes, egredimur tamen; ad hostium enim conspectum ipsum, nosque Duces, exercitusque, consternati sumus. Clamore itaque sublato, Trojani, cum Memnone, reliquisque nos aggressi sunt quorum vim primam suscepimus; multis hinc inde vulneratis. Ubi vero quamplurimi ex nostris cecidissent, nec amplius Barbarorum impetui substinendo essemus ad naves recessimus. Sed & illas etiam, nisi nox superveniens inhibuisset, Barbari cremassent. Nocte autem ingruente, exercitum recolligentes, occisorum cadavera combussimus. Consilium quoque eadem nocte initum, quis inter Reges nostros par Memnoni congrederetur; cæteris interim copias ejus impigre adorientibus. Sortibus autem inter Duces omnes ductis, Ajaci Telamonio, fratri meo, hoc (atis ita volentibus) sortito obtigit. Ante igitur solis ortum, Græci in aciem armati omnes progredimur; sicut & Trojani, cum Indorum rege Memnone, exercituque omni. Prælio autem commisso, multisque cadentibus, frater meus Ajax; signo Græcorum ducibus dato, uti Trojanos, Indosque reliquos propulsarent; ipse Memnonem, Indorum regem, adortus est; Heroë interim Achille, patre tuo, clam cum à tergo corroborante.

καὶ ὁ Μέμνων ἦλθεν, ἐν ἅρματι ἐποχούμενος εἰς τὸ πεδίον. Ὁπλισθέντες δὲ καὶ ἡμεῖς οἱ Ελληνες, προηρχόμεθα, πάντα δεινῶς ἔχοντες· ἰδόντες γὰρ καὶ ἡμεῖς οἱ ἡγεμόνες, καὶ ὁ ἡμῶν στρατὸς, ἐθαμβήθημεν. Καὶ μετὰ κραυγῆς οἱ Τρῶες, ἅμα τῷ Μέμνονι, καὶ τοῖς λοιποῖς, ἐπέρχονται ἡμῖν· καὶ δεχόμεθα τὴν ὁρμὴν αὐτῶν, καὶ πολλοὶ τραυματίζονται. Πιπτόντων δὲ πολλῶν ὄχλων ἐξ ἡμῶν, ἡμεῖς οἱ ἡγεμόνες Ελλήνων ἀνεχωροῦμεν, μὴ ὑποφέροντες τὴν τοῦ πλήθους βίαν· εἶχον δὲ καὶ τὰς ἡμῶν ναῦς καῦσαι οἱ Βάρβαροι, εἰ μὴ νὺξ ἐπῆλθε. Τῆς δὲ νυκτὸς γενομένης, συνελθόντων Ελλήνων, ἅμα τῷ ἰδίῳ στρατῷ, καὶ συναγαγόντες τὰ σώματα τεφροῦμεν. Τῇ δὲ αὐτῇ νυκτὶ βουλευόμεθα, τίς τῶν βασιλέων δύναται ἀντιστῆναι, καὶ ὁρμῆσαι κατὰ τοῦ Μέμνονος, τῶν ἄλλων εἰς τὰ πλήθη ἀσχολουμένων, καὶ μαχομένων. Κλήρου δὲ γενομένου πάντων ἡμῶν ἡγεμόνων, κληροῦται, κατά τινα τύχην, Αἴας ὁ Τελαμώνιος, ὁ ἐμὸς ἀδελφός. Καὶ πρὶν ἢ ἥλιον ἀνελθεῖν, ἐξερχόμεθα οἱ Ελληνες ὁπλισάμενοι πάντες· ὁμοίως δὲ καὶ οἱ Τρῶες, καὶ ὁ Μέμνων, βασιλεὺς Ινδῶν, καὶ πάντα τὰ πλήθη αὐτῶν. Καὶ συμβολῆς γενομένης, καὶ πολλῶν πεσόντων, ὁ ἐμὸς ἀδελφὸς Αἴας, κελεύσας τοῖς βασιλεῦσι τῶν Ελλήνων τοὺς ἄλλους ἀμύνασθαι Ινδοὺς καὶ Τρῶας, ὁρμᾷ κατὰ τοῦ Μέμνονος, βασιλέως Ινδῶν, τοῦ ἥρωος Αχιλλέως, τοῦ σοῦ γενέτου, ὄπισθεν συνεπισχύοντος

τῷ

τῷ Αἴαντι, [1] ἑαυτὸν ἀποκρύπτων. Ὁ δὲ Μέμνων προσεσχηκὼς τῷ Αἴαντι κατ᾽ αὐτοῦ ὁρμήσαντι, καταβὰς ἀπὸ τοῦ ἅρματος εὐθὺς, πλησίον ἐγένετο· καὶ ἀλλήλους τοῖς δόρασι πειράζουσιν. ὁ Αἴας δὲ πρῶτος [2] ἀναστρέπει τὴν ἀσπίδα αὐτοῦ τῷ δόρατι στρέψας, ἐπιπεσὼν αὐτῷ βαρέως. Τῶν δὲ ὄντων ἐγγὺς τοῦ Μέμνονος ἐπελθόντων τῷ Αἴαντι ἐν τῷ ἔχειν τὸν Μέμνονα, ἰδὼν ὁ σὸς πατὴρ Ἀχιλλεὺς, τὸ δόρυ αὐτοῦ βαλὼν εἰς τὸν τράχηλον τοῦ αὐτοῦ Μέμνονος, [3] γυμνωθέντος τοῦ τένοντος, κλίνει αὐτὸν ἀνελπίστως. Καὶ πεσόντος αὐτοῦ, αἰφνιδίως γίνεται θόρυβος, καὶ φυγὴ τῶν βαρβάρων· καὶ ἡμεῖς οἱ Ἕλληνες γνόντες, καὶ πλησθέντες θάρσους, πάντας τοὺς Αἰθίοπας κλείνομεν. Πολυδάμαντος δὲ ἐπὶ τὸν Αἴαντα ἐπιβάντος, ὁρμήσας ὁ Τελαμώνιος Αἴας κατ᾽ αὐτοῦ, δόρατι πλήξας τὸν βουβῶνα αὐτοῦ, ἀναιρεῖ αὐτόν. Θανόντος δὲ κἀκείνου, καὶ ἄλλων πολ-

Memnon vero, ubi Ajacem sibi appropinquantem animadvertit, è curru statim descendens, propius accessit. Tum vero hastis se invicem petebant: primusque Ajax peracriter eum aggressus, scutum ejus, hasta impulsum, obliquavit. Derepente igitur qui Memnoni proximi erant, Ajacem, eum urgentem, adorti sunt: quod ubi vidit pater tuus Achilles, denudatum Memnonis jugulum hasta trajecit; ipsumque, omnium præter spem, occidit. Memnone sic prostrato, tumultus ingens in Barbaris ortus est, fugam sine mora capessentibus: nos contra, revocatis animis, Æthiopas ad unum omnes excidimus. Tum vero Polydamantem, Ajacem adorientem, Ajax vicissim petebat: juxtaque inguina confossum, de medio sustulit. Occisis vero eo, plurimisque aliis, Æthiopes in ipsa fuga perie-

1 ἑαυτὸν ἀποκρύπτων] Scr. ἀποκρύπτοντος.

2. ἀναστρέπει τὴν ἀσπίδα αὐτοῦ] Dictys Cret. l. 4. *Tum dux noster summa vi Umbonem scuti ejus telo aliquantum perforatum viribus ingruens, impulit, vertitque ei latus.*

3. γυμνωθέντος τοῦ τένοντος] Cedrenus: τὸ δόρυ βαλὼν εἰς τὸν Μέμνονος τράχηλον γυμνωθέντα. Dictis etiam; *& nudatum scuto hostis jugulum hasta transfigit.* Τένων etiam, pro cervice usurpatur, apud Lucian. in Cataplo: καὶ τὸν τένοντα τοῦ Τυράννου καταπατεῖ. Hesych. Τένων τὸ ἐν τῷ τραχήλῳ νεῦρον. Suidas etiam τοὺς Τένοντας vocat, τοῦ τραχήλου τὰ διατεταμένα νεῦρα· Ταῦρος βαθεῖαν τένοντα. ὁ δὲ ταῦρος πλαγεὶς, καὶ διακοπεὶς τοὺς τένοντας, ἡσυχῇ καὶ κοσμίως κατηνέχθη. Sibyllina Orac. lib. 5. ad fin. Αἰγοκέρως ἔπληξε νέου ταύροιο τένοντα. Galenus in Isagoge, cervicis posteriorem partem hoc nomine appellari asserit: τοῦ τραχήλου τὰ μὲν ὄπισθεν ἰδίως τένοντες ὀνομάζονται. Hippocrates tamen τένοντας appellare solet musculorum fines, quos ἀπονευρώσεις nominant Anatomici. *Tendines*, Latinis dicti sunt.

runt, Equitibus eos proculcantibus: totusque campus cadaveribus plenus est. Nocte vero ingruente, Trojani nobiscum, de Mortuis sepeliendis egerunt: nobis autem illis annuentibus, rogos utrinque extruximus, mortuosque cremavimus, Trojani autem Ilii portis obseratis, ducum suorum, Memnonisque fatum deflerunt. Paucis itaque diebus interjectis, patre tuo Achille, nobisque Achivis, Trojanos ad prælium provocantibus; egressi sunt, Paridis, Deiphobique sub auspiciis: cumque his Lycaon, Troilusque, & ipsi Priami filii, in aciem devenerunt. Pater itaque tuus Achilles, cum nobis omnibus, in prælium descendens, Barbaros profligavit; quorum plurimi inter fugiendum, in Scamandrum fluvium delapsi, interierunt; plurimi etiam vivi capti sunt. At vero Priami filii, Troilus, & Lycaon, Achillis manu ceciderunt: reliqui à nobis interfecti. Ingens autem Trojanis, Troili ob casum, luctus incessit; ut qui juvenis admodum, magnique animi fuit, & formæ eximiæ.

Post aliquot vero dies bellum intermissum est utrinque; ob Anathematum, quod imminebat, festum: quo Græci pariter, ac Trojani, in luco, qui prope aberat ab urbe, A-

λῶν, οἱ Αἰθίοπες φεύγοντες ἀνηροῦντο, τῶν ἱππέων αὐτοὺς καταπατούντων. Καὶ ἐπλήσθη τὸ δάπεδον νεκρῶν, καὶ γέγονεν ἑσπέρα· ᾔτησαν οὖν οἱ Τρῶες περὶ τῶν νεκρῶν ἔνδοσιν. Καὶ ἡμῶν τῶν Ἑλλήνων συνθεμένων, ἀμφότεροι ἐποιήσαμεν πυρὰς, καὶ ἐπιφρώσαμεν τοὺς νεκρούς. Καὶ ἀσφαλισάμενοι οἱ Τρῶες τὰς πύλας, ἔμειναν πενθοῦντες διὰ τοὺς αὐτῶν προμάχους, καὶ διὰ Μέμνονα. Ὀλίγων δὲ ἡμερῶν διαδραμουσῶν, τοῦ σοῦ γενέτου Ἀχιλλέως προσκαλουμένου, ἅμα ἡμῖν τοῖς Ἀχαιοῖς, τοὺς Τρῶας, ἐξῆλθεν ἡγούμενος τῶν Βαρβάρων ὁ Πάρις, καὶ Δηίφοβος, ἀδελφοί· ἦσαν δὲ μετ' αὐτῶν, σὺν τῷ πλήθει Λυκάων, καὶ Τρωΐλος, παῖδες καὶ αὐτοὶ Πριάμου. Καὶ ὁρμήσας πάλιν Ἀχιλλεὺς ὁ σὸς γενέτης, μεθ' ἡμῶν τῶν Ἑλλήνων πάντων, καταδιώκει τοὺς Βαρβάρους· καὶ φεύγοντες ἔπεσον εἰς τὸν Σκάμανδρον ποταμὸν πολλοί, καὶ ἀπώλοντο· καὶ ζῶντες δὲ φανεροί, ἐλήφθησαν. Ἀναιρεῖ δὲ Ἀχιλλεὺς τοὺς Πριάμου παῖδας, Τρωΐλον, καὶ Λυκάονα· τοὺς δὲ λοιποὺς ἡμεῖς οἱ Ἀχαιοί. Καὶ μέγα πένθος ἐν τῷ Ἰλίῳ, περὶ Τρωΐλου· ἦν γὰρ ἔτι νέος, καὶ γενναῖος, καὶ ὡραῖος.

Μετὰ δέ τινας ἡμέρας ἐνίσταται ἡ τῶν Ἀναθημάτων ἑορτή, καὶ [1] ἀνωχὴ γέγονε τοῦ πολέμου, θυσιῶν γινομένων, θυόντων τῷ Θυμβρίῳ Ἀπόλλωνι, (ἐν τῷ ἄλσει, τῷ [2] ἀπῶ μικροῦ ὄντι τῆς

1. ἀνωχὴ γέγονε τοῦ πολέμου] Sc. ἀνοχή. 2. τῷ ἀπῶ μικροῦ ὄντι] Scr. ἀπὸ μικροῦ.

πόλεως,

πόλεως,) τῶν Δαναῶν, καὶ τῶν Τρώων. Καὶ ἐξελθούσης Πολυξένης μετὰ Ἑκάβης εἰς τὸ ἱερὸν, Ἀχιλλεὺς ταύτην ἐθαύμασεν ἑωρακώς. Πρίαμος δὲ ἑωρακὼς τὸν Ἀχιλλέα, [1] πέμποντά τινα Ἰδαῖον ὀνόματι, πρὸς αὐτὸν, λόγους φέροντα περὶ τῆς Πολυξένης, ἐν τῷ ἀναπατεῖν τὸν Ἀχιλλέα ἐν [2] τῷ ἄλσει τοῦ Ἀπόλλωνος μόνον. Καὶ ἀκούσας ὁ Ἀχιλλεὺς τὸν περὶ αὐτῆς λόγον, ἀνήφθη· ἑωρακότες δὲ ἡμεῖς οἱ Ἕλληνες τὸν Ἰδαῖον ἰδιάζοντα τῷ Ἀχιλλεῖ, ἐν θορύβῳ πολλῷ ἐγενόμεθα, ὡς τοῦ σοῦ γενέτου Ἀχιλλέως προδιδόντος ἡμᾶς. Καὶ ἐπέμψαμεν πρὸς αὐτὸν ἀπόκρισιν διὰ τοῦ ἀδελφοῦ μου Αἴαντος, καὶ Διομήδους καὶ Ὀδυσσέως, ἵνα αὐτῷ παραγγείλωσι, μὴ θαῤῥεῖν ἑαυτὸν τοῖς Βαρβάροις μόνον. οἱ δὲ ἀπελθόντες, περιέμειναν αὐτὸν ἔξω τοῦ ἄλσους, ἵνα αὐτῷ εἴπωσι τὴν ἀπόκρισιν. ὁ δὲ σὸς πατὴρ Ἀχιλλεὺς συντάσσεται τῷ Ἰδαίῳ, λαμβάνειν Πολυξένην πρὸς γάμον. Καὶ μετ᾽ ὀλίγον ὁ Πάρις παραγίνεται πρὸς τὸν Ἀχιλλέα κρύφα, καὶ ὁ Δηΐφοβος, ὁ ἀδελφὸς αὐτοῦ, παρακαλοῦντες αὐτὸν περὶ τοῦ γάμου τῆς Πολυξένης. καὶ δέχεται αὐτοὺς ὁ Ἀχιλλεὺς κατ᾽ ἰδίαν ἀγνώστως, μηδὲν ὑποπτεύσας φαῦλον, διὰ τὸ ἐν τῷ τοῦ Ἀπόλλωνος ἄλσει εἶναι. Καὶ ὁ μὲν

pollini Thymbrio ſacra faciebant. Polyxenam ibi, templum una cum Hecuba ingredientem, conſpicatus Achilles, formam ejus obſtupuit. Videns autem Priamus Achillem, qui per lucum ſolum obambulabat; Idæum quendam miſit, qui cum Achille de Polyxena ſermones haberet. Achilles autem, Idæi nuncium ubi audiſſet, Polyxenæ amore accenſus eſt: Nos autem Idæum obſervantes cum Achille ſecreto agentem, conturbati animis, à parente tuo nobis metuere cœpimus; ne forte proditionem agitaret. Miſſi ſunt igitur, cum fratre meo, Diomedes, & Uliſſes, qui innuerent ei, ne ita fidenter ſe Barbaris committeret ſolum. Illi autem abeuntes, adventum ejus ex luco præſtolabantur, nuncium illud ei allaturi. Interim pater tuus Achilles promiſſum dederat, de Polyxena ducenda: cui paulo etiam poſt, Paris, cum fratre Deiphobo, clam intervenit; nempe de nuptiis eum interpellaturus: quos & ſeorſim excepit Achilles, doli ignarus, nihilque mali ſuſpicatus, eo quod Apollinis eſſent in luco. Et quidem Paris ad Aram conſtitit, tanquam quæ inter ſe pacta fuerant, jura-

1. πέμποντά τινα] Scr. πέμπει. ἐν ἄλσει, &c. Cedrenus: Ἑωρακὼς δὲ ὁ Πρίαμος τὸν Ἀχιλλέα, πέμπει τὸν Ἰδαῖον πρὸς αὐτὸν

2. τῷ ἄλσει τοῦ Ἀπόλλωνος μόνον] Scr. μόνον.

mento

mento firmaturus. Interim vero dum se mutuo tenebant amplexu Deiphobus, & Achilles; Paris à latere veniens, Achillem gladio quem ferebat transadigit. Sed & repetito vulnere confossus, dum à Deiphobo distineretur, Achilles, concidit exanimis. Paris autem, & Deiphobus, per diverticulum luci viam sibi invenientes, clam omnibus evaserunt: paululumque progressi, citato cursu iter in urbem accelerabant. Quos cum conspexit Ulisses, Ajacem, ac Diomedem allocutus; "Non "est (inquit) boni aliquod, "quo occupati sunt isti: quin "igitur Achilli prospiciamus. Lucum itaque ingressi, patrem tuum vident cruentatum, humi juxta altare postratum, & extremos jam spiritus anhelantem. "Dixit autem ei frater "meus Ajax; Quisquamne igi"tur tê, mortalium fortissime, "interficere poterat? Quin "potius tua tibi temeritas ex"itio fuit. Immo, inquit A"chilles, Paris me, Deipho"busque, Polyxenam præ"texentes, dolo circumvenere. Nec plura locutus, ex-

Πάρις, ὡς ὅρκῳ βεβαιῶν τὰ μετ' αὐτοῦ καὶ τοῦ Ἀχιλλέως εἰρημένα, παρὰ τὸν βωμὸν ἵσταται. Περιπλακέντος δὲ τοῦ Δηϊφόβου τῷ Ἀχιλλεῖ, καὶ ὁ Πάρις, ἀπὸ τῶν πλευρῶν, αὐτοῦ καταφιλοῦντος αὐτὸν, ἐβάπτισεν ὃ ἐπεφέρετο ξίφος. Τοῦ δὲ Δηϊφόβου κατασχόντος τὸν Ἀχιλλέα, δευτέραν ἐπιφέρεται πληγὴν ὁ Πάρις τῷ Ἀχιλλεῖ, καὶ λοιπὸν ἔκλυτος ἐγένετο, καὶ ἔπεσε. Καὶ ἐξέρχονται οἱ περὶ Πάριδα καὶ Δηΐφοβον ἀνυπόπτως δι' ἄλλης ἐξόδου τοῦ ἄλσους· ὡς δὲ μικρὸν ἀπεῖχον, δρόμῳ πολλῷ χρησάμενοι, ἀπῆλθον εἰς τὴν πόλιν. Ἰδὼν δὲ αὐτοὺς ὁ Ὀδυσσεὺς, ἔφη πρὸς Αἴαντα, καὶ Διομήδην, ὅτι, οὐκ ἀγαθόν τι [1]εἰσὶν εἰργασμένοι οὗτοι· εἰσέλθωμεν πρὸς τὸν Ἀχιλλέα. Εἰσελθόντες οὖν εἰς τὸ ἄλσος, ὁρῶσι τὸν σὸν γενέτην Ἀχιλλέα κείμενον παρὰ τὸν βωμὸν εἰς τὸ ἔδαφος [2]κατημαγμένον, καὶ ἔτι ἐμπνέοντα. "Εἶπεν οὖν πρὸς αὐτὸν ὁ "ἐμὸς ἀδελφὸς Αἴας· ἦν ἄρα ἀλη"θῶς ὅστις ἀνθρώπων ἠδύνατο κτεῖ"ναι σε, ἀλκῇ διαφέροντα πάν"των; ἀλλ' ἡ σὴ προπέτεια ἀπώ"λεσέ σε. Ὁ δὲ Ἀχιλλεὺς εἶπε· [3]Δόλῳ εἰργάσαντό με Πάρις, καὶ Δηΐ-

1. εἰσὶν εἰργασμένοι οὗτοι] ἐργασάμενοι.

2. κατημαγμένον] Scr. καθημαγμένον.

3. δόλῳ εἰργάσαντό με] *fraudem mihi fecerunt.* forte scribendum, δόλον εἰργάσαντό με, cum duplici accusativo, quo pacto ἐργάζομαι, frequenter usurpatum tradit Moschopulus, voc. Atticar. Collect: ἐργάζομαί σε κακὸν, μετὰ δύο αἰτιατικῶν· καὶ, ποιῶ σε κακόν. Adverbium etiam quandoque, loco Accusativi alterius, eodem teste ponitur: καὶ μετὰ ἐπιῤῥήματος, ποιῶ σε κακῶς, τὸ ἐργάζομαί σε κακῶς.

φοβος,

φόβος, διὰ Πολυξένην. καὶ ἐτελεύτησε. Νεκρὸν δὲ γενόμενον, βαστάσαντος αὐτοῦ τὸ σῶμα τοῦ ἐμοῦ ἀδελφοῦ Αἴαντος ἐπ' ὤμων, φέρουσιν εἰς τὰς σκηνάς. Ἰδόντες δὲ οἱ Τρῶες, ἐξέρχονται, ἵνα ἁρπάσαντες αὐτοῦ τὸ σῶμα, αἰκίσωνται. Ἡμεῖς δὲ οἱ Ἕλληνες ἰδόντες τὸ γενόμενον, ἐν ἀμηχανίᾳ πολλῇ ἐγενόμεθα· καὶ τεφροῦμεν αὐτοῦ τὸ σῶμα, καὶ βαλόντες ἐν ὑδρίᾳ, θάπτομεν σιγῇ.

Ὁ δὲ Πύρρος ἀκούσας, ἐστέναξε πικρῶς· καὶ προσεσχηκὼς ὁ Τεῦκρος, ἐπαινῶν αὐτόν, ἔφη· Τίς δυνατός ἐστι τὰς σὰς ἀρετὰς ἐξειπεῖν; Ἐκ πατρὸς αἷμα φέρεις Πηλέως βασιλέως, πόλεως μὲν Φθίας, χώρας δὲ Θετταλίδος· ἐκ μητρὸς δὲ αἷμα φέρεις Λυκομήδους, βασιλέως τῶν Σκυρείων. Εἰς ἐκδίκησιν δὲ πατρὸς, ἅπαν τὸ Ἴλιον, καὶ τὴν Τροίαν ἀπώλεσας. Καὶ ἀναστὰς, περιεπλάκη τῷ Πύρρῳ ὁ Τεῦκρος· καὶ ᾔτησεν αὐτὸν, τοὺς τοῦ Αἴαντος, τοῦ αὐτοῦ ἀδελφοῦ, λαβεῖν υἱοὺς, τὸν Αἰαντίδην, τὸν ἀπὸ Γλαύκης, τῆς προτέρας γυναικὸς Αἴαντος, καὶ τὸν Εὐρυσάκην, τὸν ἀπὸ [1] τῆς Τεκμίοσης, καὶ αὐτὴν Τέκμησσαν· καὶ παρέσχεν αὐτῷ ὁ Πύρρος. Καὶ λαβὼν ὁ Τεῦκρος, εὐθὺς ἀπέπλευσεν ἐπὶ τὴν Σαλαμῖνα.

Ὁμοίως δὲ καὶ ὁ Πύρρος, λαβὼν τὸν ἴδιον στόλον, ἀπέπλευσε· καὶ πᾶς ὁ Ἀχαϊκὸς στρατὸς, καὶ οἱ ἥρωες ἀπῆλθον εἰς τὰς ἰδίας πατρίδας. Ταῦτα δὲ Σίσυφος ὁ Κῷος συνε-

piravit. Mortuum itaque, humeris suis impositum, ad castra deferebat frater meus Ajax: quo viso, erumpunt continuo Trojani, Achillis corpus, uti in id sævirent, abrepturi. Cæterum nos, casu hoc, summis in angustiis positi, cadaver pyris exustum, urnaque reconditum, terræ taciti mandamus.

Adhuc Pyrrhus profunde ingemuit: sed laudavit eum Teucrus: intentisque in eum oculis: Quisnam (inquit) par "tuis virtutibus prædicandis "videtur; qui à patre, Pelei, "Pthiæ Thessalorum regis; "à matre vero, Lycomedis, "Scyri regis, sanguinem o-"stentas? quique, Patris in "vindictam, Trojam, totum-"que Ilium exitio dedisti? Surgens deinde Teucrus, Pyrrhum amplexus est; qui eum vicissim rogavit, uti fratris sui Ajacis filios, Aiantidem, ex Glauca, priore Ajacis uxore; & Eurysacem, ex Tecmessa; Tecmessamque ipsam sibi acciperet. Eos itaque à Pyrrho sibi traditos, in Salaminem insulam, statim solvens, Teucrus devexit.

Pyrrhus itidem, omnisque Græcorum exercitus, & Heroes, cum classe quisque sua, patriam suam repetierunt. Ista vero scriptis tradidit Sisyphus Cous, qui, cum Teucro, bello

---

1. τῆς Τεκμίοσης] Scr. Τεκμήσσης.

inter-

interfuit: cujus in Historiam Homerus Poëta post temporis incidens, Iliadem suam condidit; sicuti & suam quoque postea Virgilius Æneidem. Hæc eadem Dictys etiam Cretensis memoriæ prodidit: cujus Scripta, longe ab Homeri, & Virgilii seculis, Claudii Neronis sub temporibus, in arcula reperta traduntur.

Clytemnestra autem, Agamemnonis uxor, audito Conjugis sui erga Cassandram amore; occasione oblata, & ipsa etiam cum Ægistho, viro nobili, Thyestis F. consuetudinem habuit. Certior autem facta, jam instare Agamemnonis in Mycenas reducis adventum; consilium cum Ægistho habuit, quonam pacto adveniens, ab Ægistho è medio, dolo toleretur. Agamemnon itaque ad Mycenas reversus, à civibus suis, Primoribus, ipsoque Ægistho acceptus est: palatium vero suum ingressus, occisus est. Uxor itaque ejus regem statim salutat Ægisthum; cui juxta leges nupta, filiam ei peperit, quam Erigonem vocavit: quæ, patris sui & matris post mortem, ab Oreste metuens sibi, laqueo sibi mortem conscivit. Senatus vero, omnisque adeo

γράψατο, ἐν τῷ πολέμῳ ὑπάρχων σὺν τῷ Τεύκρῳ. ἅτινα συγγραφὴν εὑρηκὼς Ὅμηρος ὁ ποιητὴς, τὴν Ἰλιάδα ἐξέθετο, καὶ Βεργίλλιος τὰ λοιπά. ἅτινα καὶ ἐν ταῖς τοῦ Δίκτυος ἐμφέρεται συγγραφαῖς. Ὅπερ πόνημα μετὰ πολλὰ ἔτη Ὁμήρου, καὶ Βεργιλλίου, 1 ηὑρέθη ἐπὶ Κλαυδίου Νέρωνος βασιλέως, ἐν κιβωτίῳ.

Ἡ δὲ Κλυταιμνήστρα, ἡ γυνὴ τοῦ Ἀγαμέμνονος, πρώην ἀκούσασα διὰ τὸν ἑαυτῆς ἄνδρα, ὅτι τὴν Κασάνδραν φιλεῖ, καὶ ἀφορμὴν εὑρηκυῖα, δέδωκεν ἑαυτὴν εἰς μοιχείαν τῷ Αἰγίσθῳ τῷ συγκλητικῷ, υἱῷ τοῦ Θυέστου. Καὶ ἀκούσασα τὴν τοῦ Ἀγαμέμνονος μέλλουσαν 2 ἐπὶ τὴν Μυκηναίαν παρουσίαν· ἐβουλεύσατο μετὰ τοῦ Αἰγίσθου, πῶς ὀφείλει δόλῳ φονευθῆναι ἐρχόμενος ὁ Ἀγαμέμνων ὑπὸ τοῦ Αἰγίσθου. Καὶ καταφθάσαντος τοῦ Ἀγαμέμνονος ἐν τῇ Μυκηναίων πόλει, καὶ δεχθέντος ὑπὸ τῆς πόλεως, καὶ τῆς συγκλήτου, καὶ τοῦ Αἰγίσθου, εἰσελθὼν εἰς τὸ ἴδιον παλάτιον, ἐσφάγη. Καὶ ἐποίησεν εὐθέως ἡ γυνὴ αὐτοῦ βασιλέα τὸν Αἴγισθον, καὶ ἐγαμήθη αὐτῷ νόμῳ. καὶ ἔσχεν ἐξ αὐτοῦ θυγατέρα, 3 ἣν ἐκάλεσεν Ἐνιγόνην· ἥτις μετὰ θάνατον τοῦ πατρὸς καὶ τῆς μητρὸς, φοβηθεῖσα τὸν Ὀρέστην, ἑαυτὴν ἀγχόνῃ ἀναιρεῖ. Ἡ δὲ σύγκλητος, καὶ

1. ηὑρέθη ἐπὶ Κλαυδίου Νέρωνος] Ista tamen infra referuntur, non ad Neronis, sed ad Claudii Neronis decessoris annum XIII.

2. ἐπὶ τὴν Μυκηναίαν] supple πόλιν; uti habet paulo inferius.

3. ἣν ἐκάλεσεν Ἐνιγόνην] lego, Ἠριγόνην ita enim eam vocat Dictys Cretensis, unde ista desumpta magna ex parte videntur.

ἡ πόλις

1. τοῦ Ὑπερβερεταίου μηνὸς] Ad nostrum corrigendum est Chr. Alex. ubi pro Ὑπερβερεταίου, Περιτίου habemus. Vides autem nunc Lector, unde Chron. illius compilator, Auctoris sui nomen licet ubique supprimat, narrationem hanc de Sosibio, uti & plurima alia, desumpserit.

2. ἐκ τῶν πρώην φόβων] Φόβος, pro terræ motu, calamitateve alia tali, frequenter apud nostrum sumitur.

3. Κόϊντος δὲ Μαρκιανὸς ῥὴξ Ῥωμαίων. Locus mendosus: ἡ, mihi omnino παρέλκειν videtur. Quinam vero sint, quos hic memorat, Quintus Marcianus, & Philippus Barypus, doctioribus inquirendum permitto. Forte Ῥωμαίων redundat, & ῥὴξ, cognomen est. Certe Marcium Regem habemus Cos. in Fastis Siculis, ad finem Olympiadis CLXXVI.

nus, victor augustus invictus, imperator, quod (Græcis) sonat, αὐτοκράτωρ. Imperavit autem Augustus in universum annos LVI. Erat vero statura curta, gracilis, capillitio lento, ac porrecto, pulchris oculis, naso eleganti.

Eo imperante Jovis Fanum extructum est, Capitoliumque instauratum: utrumque ædificium plane stupendum.

Anno autem regni XXXIX, mense X, Agrippa II, & Donato Coss. edicto jussit, ut regiones omnes Imperio Romano subditæ, tam eæ quas ipse subjugaverat, quam quas antea tenuerunt Romani, censerentur. Factus est autem iste Census, per totum imperium Romanum, ab Eumene, & Attalo, Senatorii ordinis hominibus. Magnam enim apud omnes habuit reverentiam; ut qui ad iram pronissimus erat.

Exacto autem regni ejus anno XLI, menseque VI, Martii XXV, hora diei II, die Dominico, Beata virgo, ac Deipara, Maria, ab Archangelo Gabriele, in urbe Nazareth, lætum nuncium acepit; Quinto, & Longino Coss. Vitellio autem Syriæ Præfecto, ab Agusto Cæsare recens constituto.

ὄχος, σέβαστος, κραταιὸς, Ἰμπεράτωρ, ὅπερ ἐστὶν, αὐτοκράτωρ. Καὶ ἐβασίλευσεν ὁ αὐτὸς Αὔγουστος τὰ πάντα ἔτη νς'. τῇ δὲ θέᾳ [1] ὑπῆρχε κονδοειδὴς, λεπτὸς, ἁπλόθριξ, εὐόφθαλμος, εὔρινος.

Ἐν δὲ αὐτοῦ βασιλείᾳ ἔκτισε τὸ ἱερὸν τοῦ Διὸς ἐν τῇ Ῥώμῃ· ἀνανεώσας καὶ τὸ Καπετώλιον· ποιήσας τὰ ἀμφότερα, φοβερὰ κτίσματα.

[2] Τῷ δὲ λθ' ἔτει, καὶ μηνὶ τῷ δεκάτῳ τῆς βασιλείας αὐτοῦ, ἐθέσπισεν ἐκφωνήσας δόγμα, ὥστε ἀπογραφῆναι πᾶσαν τὴν ὑπ' αὐτὸν γενομένην γῆν, καὶ ἣν προέτι εἶχον οἱ Ῥωμαῖοι, ἐπὶ τῆς ὑπατείας Ἀγρίππου τὸ δεύτερον, καὶ Δονάτου. Καὶ ἀπεγράφη πᾶσα ἡ ὑπὸ Ῥωμαίους γῆ, διὰ Εὐμένους καὶ Ἀττάλου, συγκλητικῶν Ῥωμαίων. Εἶχε γὰρ πολὺν φόβον· ὀργίλος γὰρ ἦν πάνυ.

Μετὰ δὲ τὸ διελθεῖν τὸ μα' ἔτος, καὶ μῆνα τὸν ἕκτον τῆς βασιλείας αὐτοῦ ἐν τῷ Δύστρῳ μηνὶ κε', ὥραν ἡμερινὴν δευτέραν, ἡμέρᾳ Κυριακῇ, εὐηγγελίσατο ἐν Ναζαρὲτ τῇ πόλει ὁ Ἀρχάγγελος Γαβριὴλ τὴν ἁγίαν παρθένον, καὶ Θεοτόκον Μαρίαν, [3] ἐν ὑπατείᾳ Κυΐντου, καὶ Λογγίνου· [4] ἡγεμονεύοντος δὲ τῆς Συρίας Οὐιτιλλίου, τοῦ καὶ προαχθέντος νεωστὶ, ὑπὸ τοῦ Αὐγούστου Καίσαρος.

1. ὑπῆρχε κονδοειδὴς] De Augusti statura, vide Sueton. in Octavio Tit. 79.

2. τῷ δὲ λθ'. ἔτει] Ἀπογραφὴ hæc facta est XLII. Augusti Imp. anno, Augusto XIII. & M. Plautio Coss. teste Eusebio. Quos vero hic Auctor Consules nominat, nusquam apparet.

3 ἐν ὑπατείᾳ Κυΐντου καὶ Λογγίνου] Novos usque & inauditos Consules nobis exhibet Auctor.

4. ἡγεμονεύοντος δὲ τῆς Συρίας Οὐϊλλίου] Scr. Οὐιτελλίου.

ΛΟΓΟΣ

LIBER X.

De Temporibus Augusti Imperatoris, & Dei Incarnatione.

ΛΟΓΟΣ Ι΄.

Χρόνων Βασιλείας Αὐγούστου, καὶ Ἐνανθρωπήσεως Θεοῦ.

ΕΝ δὲ τῷ μβ΄ ἔτει, καὶ μηνὶ τῷ δ΄ τῆς βασιλείας τοῦ αὐτοῦ Αὐγούστου, ἐγεννήθη ὁ Κύριος ἡμῶν, καὶ Θεὸς, Ἰησοῦς ὁ Χριστὸς, τῇ πρὸ η΄ καλανδῶν [1] Ἰαννουαρίῳ, μηνὶ Δεκεμβρίῳ κε΄, ὥραν ἡμερινὴν ἑβδόμην, ἐν πόλει τῆς Ἰουδαίας, ὀνόματι Βηθλεέμ, [2] πλησίον οὔσαν τῆς Ἱερουσαλήμ· [3] ἔτους κατὰ Ἀντιόχειαν τὴν μεγάλην χρηματίζοντος μβ΄. ἡγεμο-

ANNO autem XLII, mense IV, Augusti imperantis, VIII, Kal. Januarias, Decembris XXV, hora diei VII, natus est Dominus Deus noster, Jesus Christus, in civitate Judææ, nomine Bethleem, Hierosolymis vicina: (erat

1. καλανδῶν Ἰαννουαρίῳ] Scr. Ἰανουαρίων.

2. πλησίον οὖσαν τῆς Ἱερουσαλὴμ] Scr. οὔσῃ.

3. ἔτους κατὰ Ἀντιόχειαν τὴν μεγ. χρηματίζοντος μς΄.] Annus Augusti XLII incidit in Æræ Antiochenæ annum XLVII: ab anno enim primo J. Cæsaris, qui V. annos regnavit, incipit Æra hæc; uti etiam Auctor noster supra.

is annus Æræ Antiochenæ XLII,) Cyrenio, viro Consulari, Syriæ tunc temporis Præfecto, Octaviano ipso, & Silvano Coss. Herode vero Judææ regnum tenente.

Numerantur ergo ab Adamo, ad Phalecum usque, Eberi F. anni MMDXXXIII; à Phaleco vero, ad Augusti Cæsaris regni annum XLII, anni sunt MMDCCCCLXVII: adeo ut ab Adamo, primo homine, ad Incarnationem D. N. Jesu Christi, id est, ad Agusti Cæsaris Imperantis annum XLII, anni effluxerint MMMMMD.

Conversationem suam denique habuit in terra cum hominibus per annos XXXIII; sicut testantur S. Scripturæ. Ab Adamo igitur, ad D. N. Jesum Christum in carne Crucifixum, anni habentur MMMMMDXXXIII. Phalecus enim, secundum Mosis Prophetiam, dimidium dicitur temporis Christi futuri adventus. Quemadmodum enim hominem Deus die sexto formavit, uti Moses scriptis suis testatus est; (qui etiam & hoc addit, apud Dominum, scilicet, unum diem idem esse, ac Mille annos: die vero sexto, ut antea diximus ex scriptura, Deus

νεύοντος τῆς Συρίας Κυρηνίου, τοῦ ἀπὸ ὑπάτων, [1] ὑπατεύοντος δὲ τοῦ αὐτοῦ Ὀκταβιανοῦ, καὶ Σιλουανοῦ, τοπαρχοῦντος δὲ, ἤτοι βασιλεύοντος τῆς Ἰουδαίας Ἡρώδου τοῦ βασιλέως.

Συνάγεται οὖν ἀπὸ Ἀδὰμ, ἕως τοῦ Φαλὲκ, υἱοῦ Ἐβὲρ, ἔτη ,βφλγ΄. καὶ ἀπὸ Φαλὲκ, ἕως τοῦ μβ΄ ἔτους τῆς βασιλείας Αὐγούστου Καίσαρος, ἔτη ,βϡξζ΄. ὡς συνάγεσθαι ἀπὸ Ἀδὰμ τοῦ πρωτοπλάστου, ἕως τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ μβ΄ ἔτους τῆς βασιλείας τοῦ αὐτοῦ Αὐγούστου Καίσαρος, ἔτη ,εφ΄.

Καὶ λοιπὸν συνανεστράφη ἐπὶ τῆς γῆς τοῖς ἀνθρώποις ὁ Κύριος ἡμῶν, καὶ Θεὸς, ὡς ἐν ταῖς γραφαῖς ἐμφέρεται, ἔτη λγ΄. ὡς γίνεσθαι ἀπὸ Ἀδὰμ, ἕως τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ σάρκα γεννήσεως, καὶ σταυρώσεως, ἔτη ,εφλγ΄. Ὁ γὰρ Φαλὲκ, κατὰ τὴν προφητικὴν φωνὴν Μωσέως, τὸ ἥμισυ λέγεται τοῦ χρόνου τῆς μελλούσης τοῦ Χριστοῦ παρουσίας. ὥσπερ γὰρ τὸν ἄνθρωπον τῇ ἕκτῃ ἡμέρᾳ ἔπλασεν, ὡς Μωσῆς ἐξέθετο· [2] (συντάξας ἐν τοῖς ὑπομνήμασιν αὐτοῦ καὶ τοῦτο· καὶ ἐστὶν ἡ μία ἡμέρα Κυρίου, ὡσεὶ χίλια ἔτη· τῇ δὲ ἕκτῃ ἡμέρᾳ, ὡς προεῖπεν ἡ γραφὴ, ἔπλασεν ὁ Θεὸς

1. ὑπατεύοντος δὲ τοῦ αὐτοῦ Ὀκταβιανοῦ καὶ Σιλουανοῦ] Eusebius etiam hoc anno Coss. habet Agustum XIII & M. Plautium: Hunc M. Plautium Silvanum vocant Fasti Capitolini.

2. συντάξας ἐν τοῖς ὑπομνήμασιν αὐτοῦ] Hæc Mosis verba habentur in hymno ejus, inter Psalmos Davidicos numero XC. quæ etiam reperiuntur, Petri Epist. II. cap. III. ver. VIII. Ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς ἀγαπητοὶ, ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς μία ἡμέρα.

τὸν ἄνθρωπον, καὶ ὑπέπεσε τῇ ἁμαρτίᾳ ὁ ἄνθρωπος·) ὡς δῆλον εἶναι, ὅτι οὕτω καὶ τῇ ἕκτῃ ἡμέρᾳ τῆς χιλιάδος, ἐπὶ τῆς γῆς ἐφάνη ὁ Δεσπότης ἡμῶν Ἰησοῦς ὁ Χριστός· καὶ ἔσωσε τὸν ἄνθρωπον, διὰ τοῦ σταυροῦ, καὶ τῆς ἀναστάσεως· Ἅπερ συνηγάγετο Κλήμης, Θεόφιλος, καὶ Τιμόθεος, οἱ σοφοὶ χρονογράφοι, ὁμοφωνήσαντες. Ὁ δὲ θεοφιλέστατος χρονογράφος Εὐσέβιος ὁ Παμφίλου, ὁ γενόμενος ἐπίσκοπος Καισαρείας Παλαιστίνης, τῇ μὲν γὰρ ἕκτῃ χιλιάδι τῶν ἐνιαυτῶν λέγει καὶ αὐτὸς φανῆναι τὸν ὅλων σωτῆρα, καὶ Κύριον, Ἰησοῦν Χριστὸν, κατὰ τὸν ἀριθμὸν τῶν ἓξ ἡμερῶν τῆς πλάσεως τοῦ Ἀδάμ· πρὸ τοῦ δὲ πληρωθῆναι τὸ ἑξακισχιλιοστὸν ἔτος εἶπεν, ὅτι ἐφάνη ἐπὶ τῆς γῆς ὁ Κύριος ἡμῶν, καὶ Θεὸς, Ἰησοῦς Χριστὸς, σώσαι τὸ γένος τῶν ἀνθρώπων· καὶ ἐγεννήθη, [1] καὶ ἐνηνθρώπησε, φησὶ, τῷ ͵εφ' ἔτει· ἔπαθε, καὶ ἀνέστη ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, καὶ ἀνελήφθη, τῷ ͵εφλγ' ἔτει. Ἐν δὲ τῷ ἑξακισχιλιοστῷ ἔτει συμφωνοῦσιν ἅπαντες φανῆναι τὸν Κύριον. κἂν οὖν πλέον, κἂν ἔλασσον, εἰς τὸ ϛ' ἔτος εἶπαν φανῆναι, κατὰ τὴν προφητικὴν φωνήν· καὶ μὴ ὁμοφωνοῦσιν, ἐκθέμενοι [2] περὶ τὸν ἀριθμὸν τῶν ἐνιαυτῶν· ἐν ἐσχάτοις καιροῖς ἐφάνη, ὡς ἡ θεία γραφὴ σημαίνει.

hominem formavit; qui deinde in peccatum lapsus est:) consentaneum omnino videtur, ut sexto etiam die Millenario in terris appareret D. N. Jesus Christus, Passione, & resurrectione sua hominem salvaturus. Hæc vero a sapientissimis Chronographis Clemente, Theophilo, & Timotheo, inter se consentientibus, accepimus. Eusebius autem Pamphili, Cæsareæ Palestinæ Episcopus, & ipse omnium Dominum & Salvatorem, Jesum Christum, sexto annorum Millenario, secundum numerum diei, quo factus est Adamus, apparuisse fatetur: 'ante impletum, inquiens, sextum Millenarium annorum terris sese exhibuit D. N. Jesus Christus; uti genus humanum liberaret. Natum autem esse, & incarnatum anno Mundi MMMMMD, esse etiam passum, & resurrexisse, inque cœlos assumptum anno MMMMMDXXXIII, affirmat idem. Utcunque igitur inter Scriptores haud convenit, de numero annorum adventus Domini, aliis plures, pauciores aliis numerantibus, in hoc tamen sunt omnes, illum ætate Mundi sexta, juxta dictum Propheticum, apparuisse. Ultimis enim temporibus venisse, testatur S. Scriptura.

---

1. καὶ ἐνανθρώπησε φησὶ τῷ ͵εφ' ἔτει] Ubinam tandem hoc dicit Eusebius? certe in Chronicis suis ad Adamo ad Christum natum annos putat tantum 5199. Si autem ita ut Auctor vult calculum suum institueret, ubi fuerit inter illum & Theophilum aliosque memoratos discrepantia?

2. περὶ τῶν ἀριθμῶν] Scr. τὸν.

Augusti

Augusti Cæsaris sub imperio, iram divinam experta est Salamine, Palæstinæ urbs. Hanc Augustus refecit, & Diospolim vocavit.

Sub hoc tempus Herodes, Judæorum rex, Magos quosdam, Judæam explorandi caussa advenisse edoctus, eos comprehendi jussit. Magi enim hi, Mysteriorum haud ignari, cum ex stella in oriente visa, Christum in carne venisse intellexissent; dona secum ferentes, eum, tanquam regem magnum, & victorem, veneraturi advenerant. Orientem itaque versus cursum suum dirigentes, ubi natus esset Judæorum Rex, sciscitati sunt. Fama autem eorum inter Judæos passim ferebatur; donec noti tandem, comprehensique, ad Herodem regem perducerentur. Ei vero, quamobrem Judæam explorandi caussa advenerant, interroganti, responderunt; se, stella mirabili in Oriente visa monitos, Regem Magnum mundo natum esse, dona ei, ceu Regi Magno oblaturos, illumque ut Deum veneraturos, advenisse. His auditis, Herodes admirabundus obstupuit, se-

Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Αὐγούστου Καίσαρος Σεβαστοῦ, ἔπαθεν ὑπὸ θεομηνίας πόλις τῆς Παλαιστίνης, ὀνόματι Σαλαμίνη. ἥντινα πόλιν ἐγείρας ὁ αὐτὸς Αὔγουστος, ἐπεκάλεσε Διὸς πόλιν.

Ἡρώδης δὲ ὁ τοπάρχης, ἤτοι βασιλεὺς τῆς Ἰουδαίας, ἐν αὐτῷ τῷ χρόνῳ ἐδιδάχθη, ὅτι κατάσκοποι Μάγοι ἀπὸ Περσίδος εἰσῆλθον εἰς τὴν Ἰουδαίαν χώραν· καὶ ἐκέλευσεν αὐτοὺς συσχεθῆναι. ἦλθον γὰρ ἀπὸ τῆς Περσίδος Μάγοι, γνόντες, ὡς μυστικοὶ, διὰ τοῦ φανέντος ἀστέρος, τοῦ μηνύσαντος εἰς τὴν ἀνατολὴν, [1] τὴν τοῦ Σωτῆρος Χριστοῦ ἐνανθρωπήσεως· δῶρα φέροντες αὐτῷ, ὡς βασιλεῖ μεγάλῳ, καὶ νικητῇ. οἵτινες [2] εἰς τὴν ἀνατολὴν ἐλθόντες, ἐπηρώτων· Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; καὶ ἐθρυλλήθησαν τοῖς Ἰουδαίοις. οἵτινες Μάγοι γνωσθέντες, συνεσχέθησαν, καὶ εἰσηνέχθησαν τῷ Ἡρώδῃ βασιλεῖ. Καὶ ἐπηρώτησεν αὐτούς· Διὰ τί ἐπὶ τὴν Ἰουδαίαν χώραν ἐληλύθατε κατάσκοποι; Καὶ ἀνήγαγον αὐτῷ οἱ Μάγοι τὸ τοῦ ἀστέρος θαῦμα, καὶ ὅτι μέγας βασιλεὺς ἐγεννήθη τῷ κόσμῳ· καὶ ὅτι δῶρα αὐτῷ ἐνέγκοντες, παραγινόμεθα ὡς βασιλεῖ μεγάλῳ προσενέγκαι αὐτῷ, καὶ ἐπιφερόμεθα δῶρα, ὡς Θεῷ. Εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα, ἐν τῇ ἀνατολῇ· καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. ὁ δὲ Ἡρώδης ἀκούσας ταῦτα, ἔκθαμβος ἔμεινε· λογιζόμενος, ὅτι μετὰ Αὔγουστον Καί-

---

1. τὴν τοῦ σωτῆρος χριστοῦ ἐνανθρωπήσεως] Scr. ἐνανθρώπησιν.
2. εἰς τὴν ἀνατολὴν ἐλθόντες] Imo ἀπὸ ἀνατολῶν, ex regionibus Orientalibus, advenisse Magos testatur S. Scriptura, Mat.

σαρα,

ἄρα, ποίας ἐστὶ δυνάμεως ὁ γεννηθεὶς βασιλεύς. Ἦσαν οὖν ἐλθόντες οἱ Μάγοι ἐν Ἱεροσολύμοις, [1] ἐν ὑπατείᾳ Οὐϊνδικίου, καὶ Οὐαλερίου. Ἠκριβώσατο οὖν παρ' αὐτῶν ὁ Ἡρώδης τὸν χρόνον τοῦ φανέντος ἀστέρος· καὶ εἶπεν αὐτοῖς τοῖς Μάγοις, ὅτι ἐὰν εὕρητε αὐτόν, ἐλθόντες ἀπαγγείλατέ μοι· ὅπως κἀγὼ ἐλθὼν, προσκυνήσω αὐτῷ. Καὶ ἀπελθόντες οἱ Μάγοι, ὁδηγούμενοι ὑπὸ τοῦ ἀστέρος, οὗ ἑωράκασιν ἐν τῇ ἀνατολῇ, εὗρον τὸν Ἰησοῦν, καὶ τὴν μητέρα αὐτοῦ, ἐν Βηθλεὲμ τῇ πόλει. Καὶ πεσόντες εἰς τὸ ἔδαφος τῆς γῆς, προσεκύνησαν τῷ Σωτῆρι Χριστῷ· ἔλεγον γὰρ ἐν ἑαυτοῖς· ὅτι, τὸν μείζονα αὐτοῦ Θεὸν ὑποδεικνύει ἡμῖν οὗτος ὁ ἀστήρ, ὃν ἡμεῖς τιμῶμεν, ὡς θεόν. Καὶ προσενέγκαντες αὐτῷ δῶρα ἅπερ ἐβάσταζον, ὡς Θεῷ, καὶ χρηματισθέντες, δι' ἄλλης ὁδοῦ, τῆς τῶν λιμίτου, ἀνῆλθον εἰς τὰ Περσικὰ μέρη, καταφρονήσαντες τοῦ Ἡρώδου βασιλέως.

Καὶ ὡς παιχθεὶς ὁ αὐτὸς Ἡρώδης βασιλεὺς ὑπὸ τῶν Μάγων, 2 ἐθυμιώθη· καὶ περιεργασάμενος ἀπὸ τῶν ἀρχιερέων τῶν Ἰουδαίων, ποῦ ὁ Χριστὸς γεννᾶται, ἔμαθε. καὶ πέμψας τοὺς στρατιώτας, ἔσφαξε πάντα τὰ νήπια ἐν Βηθλεὲμ τῇ πόλει τῆς Ἰουδαίας· καθὼς ἡ θεία λέγει γραφή. Καὶ ληφθεὶς εὐθέως ὁ Ἡρώδης πάθει

3. ἐν ὑπατείᾳ Οὐινδικίου καὶ Οὐαλερίου] Chr. Alex. hos vocat, Indicium, & Varium. verum Coss. hos ponit ad an. Augusti XLII. quo anno noster supra Augustum XIII. & Silvanum Coss. fecit.

2. ἐθυμιώθη] Scr. ἐθυμώθη.

cum reputans, secundum Cæsarem quantæ potestatis esse potuerit Rex iste. Magi autem isti Hierosolymas venerunt, Vindicio & Valerio Coss. Herodes vero tempus, quo stella apparuit, à Magis diligenter exquirens, dimisit eos, dicens; si inveniatis eum, mihi renuncietis vellem, ut & ego adiens, illum venerer. Magi itaque abeuntes, & ipsam, quam in Oriente viderant, stellam viæ ducem habentes, Jesum & matrem ejus, in urbe Bethleem invenerunt. Inter se vero dicentes; ‘stella ista, quam nos ‘pro Deo habemus, Deum ‘certe se majorem nobis exhibet: in terram proni cadentes, donaque, quæ attulerant, ei, ceu Deo, offerentes, Christum salvatorem venerati sunt. Divinitus vero admoniti, Herode Rege insuper habito, ad limites divertentes, per avia tandem ad Persidem evaserunt.

Herodes ubi se à Magis delusum esse sensisset, ira commotus est: curiosius itaque à Pontificibus Judæorum inquirens, ubi Christus nasceretur; & Bethleem Judææ, locum esse edoctus; missis illuc militibus, infantes omnes neci dedit: sicuti sacræ testantur Scripturæ. Herodes vero mor-

bo incurabili statim correptus, à vermibus exesus interiit. Hunc in regno Judæorum excepit Archelaus, ejus filius, Lamia, & Serelliano Coss. regnavitque annos IX, sicuti Clemens, sapientissimus Chronographus scriptum reliquit.

Augustus vero Cæsar Octavianus, imperii sui anno LV, mense Hyperberetæo, sive Octobri, Oraculum adit: factaque Hecatombe, Pythiam rogavit, dicendo. 'Quis, post 'Me, Romana tenebit sceptra? Vate vero nihil respondente, sacra iterum peregit, & secunda vice sciscitatus est: 'Quare, inquiens, Oraculum 'silet, nec mihi dat responsum? Tum demum à Pythia accepit hæc.

Me puer Hebræus, summi moderator Olympi,

Migrare hinc mandat, Stygiasque revertere ad umbras.

Vade igitur, nostrum neve ultra altare fatiges.

ανιάτῳ, σκωληκόβροτος ἐγένετο, καὶ ἀπέθανε· καὶ ἐγένετο βασιλεὺς, ἤτοι τοπάρχης τοῦ Ἰουδαϊκοῦ ἔθνους, Αρχέλαος, ὁ υἱὸς αὐτοῦ, ἔτη θ', [1] ἐν ὑπατείᾳ Λαμία, καὶ Σερελλιανοῦ· καθὼς ὁ σοφώτατος Κλήμης ὁ Χρονογράφος ἐξέθετο.

Ο δὲ Αὔγουστος Καίσαρ Οκταβιανὸς, τῷ νε' ἔτει τῆς βασιλείας αὐτοῦ, μηνὶ Οκτωβρίῳ, τῷ καὶ ὑπερβερεταίῳ, ἀπῆλθεν εἰς τὸ μαντεῖον· καὶ ποιήσας ἑκατόμβην θυσίαν, ἐπηρώτησε· Τίς μετ' ἐμὲ βασιλεύσει τῆς Ρωμαϊκῆς πολιτείας; Καὶ οὐκ ἐδόθη αὐτῷ ἀπόκρισις ἐκ τῆς Πυθίας. Καὶ πάλιν ἐποίησεν ἄλλην θυσίαν, καὶ ἐπηρώτησε τὴν Πυθίαν τὸ, διὰ τί οὐκ ἐδόθη αὐτῷ ἀπόκρισις, ἀλλὰ σιγᾷ τὸ μαντεῖον; Καὶ ἐῤῥέθη αὐτῷ ἀπὸ τῆς Πυθίας ταῦτα.

Παῖς Εβραῖος κέλεταί με Θεὸς μακάρεσσιν ἀνάσσων,

Τόνδε δόμον προλιπεῖν, [2] καὶ ἄϊδος αὖθις ἱκέσθαι.

Καὶ λοιπὸν ἄπιθι ἐκ προδόμων ἡμετέρων.

---

1. ἐν ὑπατείᾳ Λαμία καὶ Σερελλιανοῦ] Lamiam, & Servitium Coss. habent Eusebius, & Chr. Alex. Auctor; ut hic, anno Augusti XLIV. ille, anno ejusdem XLVI. uterque tamen annum integrum ponit, inter hos Coss. & Herodis obitum.

2. καὶ ἄϊδος αὖθις ἱκέσθαι.] Cedrenus habet, καὶ ὁδὸν αὖθις &c. & versu sequente, ἐκ δόμων ἡμετέρων uti habet etiam Eusebius. Habes vero hoc Oraculum inter Oracula vetera, à Jo. Opsopœo edita, ubi hoc modo legitur.

Παῖς Εβραῖος κέλεταί με θεοῖς μακάρεσσιν ἀνάσσων,

Τόνδε δόμον προλιπεῖν, καὶ ἀΐδην αὖθις ἱκέσθαι.

Λοιπὸν ἄπιθι, σιγῶν ἐκ βωμῶν ἡμετέρων.

Ubi tamen versus ultimus claudicat: forte legendum ἡμετεράων.

Καὶ

Καὶ ἐξελθὼν ἐκ τοῦ μαντείου ὁ Αὔγουστος Καῖσαρ, καὶ ἐλθὼν εἰς τὸ Καπιτώλιον, ἔκτισεν ἐκεῖ βωμὸν μέγαν, ὑψηλὸν, ἐν ᾧ ἐπέγραψε Ῥωμαϊκοῖς γράμμασιν. Ο βωμὸς οὗτός ἐστι τοῦ πρωτογόνου Θεοῦ· Οστις βωμός ἐστιν εἰς τὸ Καπιτώλιον ἕως τῆς νῦν· καθὼς Τιμόθεος ὁ σοφὸς συνεγράψατο.

Ο δὲ αὐτὸς Καῖσαρ Οκταβιανὸς νόσῳ βληθεὶς, [1] ἐν τῇ Ῥώμῃ ἐτελεύτησε, γέρων, ὢν ἐτῶν οε', [2] ἄπαις, [3] καὶ σωφρονήσας ἀπὸ σωματικῆς ἁμαρτίας. Ην γὰρ μυστικὸς ἀρχιερεὺς, καὶ βασιλεύς.

Μετὰ δὲ τὴν βασιλείαν Αὐγούστου Καίσαρος, ἐπὶ ὑπατείας [4] Σέξτου, καὶ Σεκτικιανοῦ, [5] ἐβασίλευσε Τιβέριος Καῖσαρ, ἔτη κβ'. [6] Ην δὲ διμοιριαῖος, γέρων, [7] λεπτακινὸς, εὐόφθαλμος, με-

Augustus itaque inde ex Oraculo discedens, in Capitolium venit; ubi altari excelso erecto, ei literis Latinis inscribi jussit: *Hæc est Ara Primogeniti Dei.* Quæ Ara adhuc usque visitur, in Capitolio: uti sapiens Timotheus memoriæ prodidit.

Cæsar autem Octavianus in morbum incidens, Romæ moritur, senex, annorum LXXV, sine prole, & ab omni labe corporis liber; ut qui non Rex solum, sed & Ponti ex Maximus fuit, mysteriorumque peritus.

Post Cæsarem Augustum, Imperator factus est Tiberius, Sexto, & Sexticiano Coss. & regnavit annos XXII: Erat vero statura mediocrem superante, ætate vergente, gracilis,

1. ἐν τῇ Ῥώμῃ ἐτελεύτησε] Hieronymus in versione sua Eusebiana Augustum Atellæ in Campania mortuum asserit: uterque falso. Nolæ enim diem suum obiit. Vide Suetonium, alios.

2. ἄπαις,] An de prole mascula intelligendus est Auctor? Filiam enim Juliam ex uxore Scribonia suscepisse eum, nemini non notum.

3. καὶ σωφρονήσας ἀπὸ σωματικῆς ἁμαρτίας] Itane vero? Audiamus tamen Suetonium in Octavio, Tit. 69. *Adulteria quidem exercuisse, ne amici quidem negant &c.* Et paulo post. *L. Antonius super festinatas Liviæ nuptias objecit; & fœminam Consularem è triclinio viri coram in cubiculum abductam, rursus in convivium rubentibus auriculis, incomptiore capillo reductam.* Quem Paragraphum etiam petulantissima ejusdem Epistola claudit Suetonius: quam videsis. Sed & uxorem etiam suam sibi habuit lenam, eodem Suetonio teste Tit. 71. *circa libidines hæsit; postea quoque, ut ferunt, ad vitiandas virgines promptior; quæ sibi undique etiam ab uxore conquirerentur.*

4. Σέξτου καὶ Σεκτικιανοῦ] Eusebius ad ultimum Augusti annum habet Sext. Pompeium, & Sext. Apuleium, Coss. Chr. vero Alex. ad annum Augusti antepenultimum, id est, LIV. (annos enim LVI. tantum eum imperare facit;) Sextum & Sextum Coss. habet; anno vero sequenti, sive penultimo, Pompeium & Apuleium ponit, ac si diversi essent.

5. ἐβασίλευσε Τιβέριος Καῖσαρ ἔτη κβ'] Ita etiam Chr. Alex. Eusebius tamen annos Imperii XXIII. ei tribuit.

6. ἦν δὲ διμοιριαῖος] Ita etiam Suetonius in Tiberio, Tit. 68. *Corpore fuit amplo atque robusto; statura, quæ justam excederet.* Reliquo tamen ejus Characterismo parum cum Suetonio congruit Auctor noster.

7. λεπτακινὸς] vocabulum hoc nusquam mihi occurrit: forte scribendum λεπτόχειλος· cui tamen scriptioni adversatur Suetonii Characterismus Tiberii.

 oculis

oculis pulchris, niger, capillitio brevi, crispoque, subsimus, ædificationi deditissimus. Hic contra Persas arma movebat: res vero ad pugnam non devenerunt; verum Cæsar oblatas ab eis pacis conditiones accepit.

Inde Romam reversurus, Antiochiam magnam venit; ubi extra urbem juxta montem Silpium, porticus duas extruxit magnificas, desuper contignatas, & splendide ornatas, quatuor Milliarium intervallo distantes inter se. Tetrapyla etiam contignata vicatim extruxit, quæ & marmore, & musivo adornavit: ipsam vero urbis plateam statuis, & columnis æreis splendidam fecit. Insuper etiam mœnibus urbis olim à Seleuco factis, nova adjecit, intra quæ, non solum Porticus illas duas clausit, sed & montem etiam ipsum, Acropolim quoque, & Jopolim. Senatus itaque, populusque Antiochenus, Tiberio Cæsari statuam æream posuit, supra columnam magnam Thebanam, in platea, inter porticus illas duas ab ipso extructas mediam: qui quidem locus, Umbilicus urbis vocatur: ubi &

λάγχρος, κονδόθριξ, σιλὸς, ὑπόσιμος, φιλοκτίστης. Ὅστις ἐπεστράτευσε κατὰ Περσῶν, καὶ μὴ πολεμήσας, ἀλλὰ παρακληθεὶς παρ' αὐτῶν πάκτα εἰρήνης ἐποίησε.

Καὶ ἀνιὼν ἐπὶ τὴν Ῥώμην, ἦλθεν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ· καὶ ἔκτισεν, ἔξω τῆς πόλεως, ἐμβόλους δύο μεγάλους, πρὸς τῷ ὄρει τῷ λεγομένῳ Σιλπίῳ, [1] ἔχοντας διαστήματα μιλίων δ', ὑπορόφους, καὶ πανευπρεπεῖς. καὶ κατὰ ῥύμην κτίσας τετράπυλα διὰ εἰλημάτων, φιλοκαλλήσας αὐτὰ μουσώσει, καὶ μαρμάροις· καὶ τὴν πλατεῖαν διὰ [2] χαλκουργήμασι, καὶ ἀγάλμασι κοσμήσας, καὶ τειχίσας τοὺς αὐτοὺς ἐμβόλους, καὶ τὸ ὄρος ἀποκλείσας ἔσωθεν, προσεκόλλησε [3] τῷ αὐτῷ τείχει τὸ νέον τῷ παλαιῷ τείχει τῆς πόλεως, τῷ ὑπὸ Σελεύκου γενομένῳ· ἀποκλείσας, διὰ τοῦ ἰδίου αὐτοῦ τείχους, καὶ τὴν Ἀκρόπολιν, καὶ τὴν Ἰώπολιν. Καὶ ἀνέστησε τῷ αὐτῷ Τιβερίῳ Καίσαρι ἡ βουλὴ, καὶ ὁ δῆμος τῶν Ἀντιοχέων, στήλην χαλκῆν, ὑπεράνω μεγάλου κίονος Θηβαίου, ἐν τῇ πλατείᾳ, κατὰ τὸ μέσον τῶν ἐμβόλων, τῶν ὑπ' αὐτοῦ κτισθέντων. Ὅστις τόπος κέκλη-

1. ἔχοντας διαστήματα μιλίων δ'.] longissimam hic Plateam memorat; nisi forte error sit in numero. Quid si, pro μιλίων, legamus σταδίων.

2. χαλκουργήμασι καὶ ἀγάλμασι κοσμήσας] χαλκουργήματα ponit, pro statuis æreis. Ita infra lib. 14. ἦν γὰρ ἐν αὐτῷ χαλκουργήματα δύο, ἅτινα καὶ αὐτά εἰσι τῶν θαυμάτων ὁ Ἴκαρος, καὶ ὁ Δαίδαλος; id est, Icari, & Dædali statuæ æreæ.

3. τῷ αὐτῷ τείχει τὸ νέον τῷ παλαιῷ &c.] forte scribend. τὸ αὐτοῦ τεῖχος τὸ νέον τῷ παλαιῷ τείχει τῆς πόλεως.

τευ,

ται, ὁ ὀμφαλὸς τῆς πόλεως, ἔχων καὶ τύπον ἐγκεγλυμμένον ἐν λίθῳ, ὀφθαλμοῦ. Ἥτις στήλη ἵσταται ἕως τοῦ νῦν.

Ὁ δὲ αὐτὸς Τιβέριος Καῖσαρ μαθὼν, ὅτι ὁ Σέλευκος ὁ βασιλεὺς, φοβηθεὶς τὰς ῥύσεις τῶν ὑδάτων κατιόντων ἐκ τοῦ ὄρους χειμῶνος, καὶ λιμναζόντων, ἀποφυγὼν τὸ ὄρος, ἐν τῇ πεδιάδι τὴν πόλιν ἔκτισε· καὶ ἔθηκε τῇ αὐτοῦ στήλῃ κιβώτιον λίθινον, ἐν ᾧ ἐποίησε τέλεσμα διὰ Ἀβλάκκωνος, τελεστοῦ, καὶ ἱερέως, διὰ τὰς ῥύσεις τοῦ Παρμενίου χειμάῤῥου ποταμοῦ, καὶ τῶν κατερχομένων ὑδάτων ἐκ τοῦ ὄρους, πρὸς τὸ μὴ βλάπτεσθαι τὸ αὐτὸ μέρος τῆς πόλεως, ἢ πορθεῖσθαι τοὺς ὑπ' αὐτοῦ κτισθέντας δύο ἐμβόλους μεγάλους· ὅπερ κιβώτιον λίθινον λέγουσιν εἶναι οἱ Ἀντιοχεῖς πολῖται, τὰ ὠνιωκὰ τῆς πόλεως αὐτῶν, διότι ἐξηγόρακε τὸ μέρος αὐτὸ τῆς πόλεως, διὰ τῆς ἀσφαλείας τοῦ κτισθέντος παρ' αὐτοῦ τείχους, ἐκ τῆς τῶν Βαρβάρων Σαρακηνῶν καὶ Περσῶν ἐπιδρομῆς, καὶ ἁλώσεως. ᾠκεῖτο γὰρ δίχα τείχους πρῴην τὸ παρὰ τὸ ὄρος μέρος τῆς πόλεως, κτισθὲν [1] ὑπὸ Ἀντιόχου τοῦ ἐπιφανεστάτου βασιλέως· [2] ὅτι καὶ τὸ βουλευτήριον ἔκτισε, καὶ ἄλλα ἱερά. Ὡσαύτως δὲ καὶ Ἀντίοχος ὁ βασιλεὺς πάλιν, [3] ὁ λεγόμενος Φιλάδελ-

oculi effigiem, lapidi insculptam, videre est. Statua autem illa ibi adhuc visitur.

Tiberius autem Cæsar, ubi intellexisset, Seleucum regem, caventem sibi à torrentibus aquarum, quæ per hybernum tempus è monte exundantes restagnabant, monte relicto, in planicie urbem condidisse; & ipse, opera usus Ablacconis cujusdam, sacerdotis, & mystæ, juxta statuam suam, capsulam lapideam collocavit, mystice præparatam: nempe ut Parmenii torrentis eluviones, & aquarum è Monte cataractas, hoc fascino propelleret, ne pars illa urbis læderetur, aut Porticus à se extructæ averterentur. Capsulam vero hanc lapideam Antiocheni dicunt esse *Redemptorium* urbis suæ: nimirum, quod hæc murum, à Tiberio factum, inexpugnabilem reddens, eam urbis partem quasi redemit ab incursionibus, & rapinis Barbarorum Saracenorum, & Persarum. Olim enim ea pars urbis, quæ ad montem sita, ab illustri illo Antiocho condita est, (Senaculum nempe publicum, aliaque loca sacra,) nequaquam mœnibus cincta habitabatur. Similiter etiam

1. ὑπὸ Ἀντιόχου τοῦ ἐπιφανεστάτου βασιλέως] Antiochum Epiphanem dicit, qui ædificia quædam à se extra urbem extructa, à nomine suo, Epiphaniam vocavit: uti Auctor supra lib. 8.

2. ὅτι καὶ τὸ βουλευτήριον] forte legendum, ὅπ aut ὅστις.

3. ὁ λεγόμενος Φιλάδελφος] Antiochi hujus Philadelphi apud alios mentio nulla.

Antiochus Philadelphus extra urbem multa extruxit: qui & ad Daphnen, in Luco, Fana duo condidit, Apollini unum, alterum Dianæ: in quibus etiam ſtatuas duas aureas collocavit, Aſylorum eis jura concedens; ut ne quis noxius, ad ea confugiens, inde extraheretur. Hæc vero extructa ſunt, ſub Regibus Macedonicis.

Extruxit etiam Tiberius Cæſar, in eadem Antiochia, templum ingens Jovi Capitolino: Balneum quoque publicum extruxit, prope fontem illum, quem olim condidit Alexander Macedo, nomenque ei dedit, à Matre ſua, Olympiadem. Alexander enim eo veniens, & aquas de ſcaturigine illa bibens; videor (inquit) mihi lac maternum hauſiſſe. Fons autem iſte juxta montem ſitus eſt; quem & intra urbis ambitum mœnibus ſuis Tiberius incluſerat. Idem etiam Baccho fanum extruxit juxta montem; poſitis etiam exterius ad templum ſtatuis duabus, Amphionis & Zethi, Dioſcurorum ex Antiopa prognatorum in honorem. Fluvium etiam, urbem alluentem, qui Draco olim vocabatur, Orontem, quaſi Orientalem, Romana

φος, ἔκτισεν ἔξω τῆς πόλεως πολλά· ὅστις καὶ ἐν Δάφνῃ ἔκτισεν, ἐν τῷ ἄλσει, ἱερὰ δύο, Ἀπόλλωνος, καὶ Ἀρτέμιδος· στήσας ἐν αὐτοῖς ἀγάλματα δύο χρυσᾶ, [1] παρασχὼν προνόμια τοῖς καταφεύγουσιν ἐκεῖ, πρὸς τὸ μὴ ἐκβάλλεσθαί τινα [2] ἐκ τῶν αὐτῶν ἱερέων. Ταῦτα δὲ ἔκτισαν, ὅτε τὰ Μακεδονικὰ βασίλεια ὑπῆρχεν.

Ὁ δὲ Τιβέριος Καῖσαρ ἔκτισεν ἐν τῇ αὐτῇ Ἀντιοχείᾳ πόλει ἱερὸν μέγα Διὸς Καπετωλίου. Ὁμοίως δὲ ἔκτισεν ὁ αὐτὸς βασιλεὺς καὶ δημόσιον λουτρὸν, πλησίον τῆς Ὀλυμπιάδος πηγῆς, τῆς κληθείσης ὑπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνος, εἰς ὄνομα τῆς αὐτοῦ μητρός· ἔπιε γὰρ ἐκ τοῦ αὐτοῦ ὕδατος Ἀλέξανδρος, ἐλθὼν ἐκεῖ, καὶ εἶπεν· ὅτι, ἔπια γάλα τῆς ἐμῆς μητρός. Κεῖται δὲ ἡ πηγὴ παρὰ τὸ ὄρος· ἥντινα ὁ αὐτὸς Τιβέριος ἔσω τοῦ τείχους ἀπέκλεισεν. Ἔκτισε δὲ καὶ ἱερὸν τῷ Διονύσῳ, πρὸς τῷ ὄρει, ὁ αὐτὸς Τιβέριος βασιλεὺς, στήσας δύο στήλας μεγάλας τῶν ἐξ Ἀντιόπης γεννηθέντων Διοσκούρων, ἔξω τοῦ ναοῦ, εἰς τιμὴν αὐτῶν, Ἀμφίονός τε, καὶ Ζήθου. Ὁ αὐτὸς Τιβέριος καὶ τὸν ποταμὸν τῆς πόλεως, τὸν πρώην λεγόμενον Δράκοντα, [3] μετεκάλεσεν Ὀρόντην τῇ Ῥωμαϊκῇ λέξει. ὅπερ ἑρμηνεύεται,

1. παρασχὼν προνόμια τοῖς καταφεύγουσι] Heſych. Προνόμια, τὰ ὀφειλόμενα τῷ ἀξιώματι.

2. ἐκ τῶν αὐτῶν ἱερέων] Scr. ἱερῶν.

3. μετεκάλεσεν Ὀρόντην τῇ Ῥωμαϊκῇ λέξει] Ita etiam Euſtathius, ad Dionyſii περιηγητοῦ locum hunc:

Τῆς

ἑρμηνεύεται, ἀνατολικός. Ἔκτισε δὲ καὶ τὸ θέατρον, πληρωθεὶς ἄλλην ζώνην, πρὸς τῷ ὄρει, καὶ θυσιάσας κόρην παρθένον, Ἀντιγόνην ὀνόματι· [1] ὅθεν θέατρον οὐκ ἐπλήρωσεν εἰς τέλειον. Ἔστησε δὲ ἐπάνω τῆς ἀνατολικῆς πόρτας, ἧς αὐτὸς ἔκτισε, στήλην λιθίνην τῇ λυκαίνῃ, τρεφούσῃ τὸν Ῥῶμον, καὶ τὸν Ῥῆμον· σημαίνων, Ῥωμαῖον εἶναι κτίσμα τοῦ προστεθέντος τείχους τῇ αὐτῇ Ἀντιόχου πόλει. Ἔκτισε δὲ καὶ ὄπισθεν τοῦ θεάτρου, ἱερὸν τοῦ Πανός. Ταῦτα δὲ Δομνῖνος, ὁ σοφὸς χρονογράφος, ἐξέθετο.

Ἔκτισε δὲ ὁ αὐτὸς Τιβέριος, ἐν τῇ Ἰουδαίᾳ χώρᾳ, παρὰ τὴν λίμνην, πόλιν, ἥντινα ἐκάλεσε Τιβεριάδα, εὑρηκὼς ἐν τῷ τόπῳ ὕδατα θερμά· κτίσας τῇ πόλει καὶ δημόσιον λουτρὸν, μὴ ὑποκαιόμενον, ἀλλ' ἐξ αὐτῶν τῶν θερμῶν [2] παρέχοντα τὴν χρῆσιν τῇ

lingua vocavit. Theatrum quoque extruxit, circumque alium priori, prope montem; adjecit; immolata etiam virgine, nomine Antigone: quod quidem opus ad exitum non perduxit. Portæ etiam Orientali, à se extructæ, statuam superimposuit lapideam Lupæ, & Remi nutricis; nempe sic nova illa urbis mœnia Romanum opus fuisse, significans. Præterea etiam Pani templum extruxit, Theatrum à tergo respiciens. Hæc vero Domninus, sapiens Chronographus, literis prodidit.

In Judæa etiam Tiberius urbem prope Lacum, extruxit, quam Tiberiadem vocavit. Aquas vero calidas ibi inveniens, Balneum etiam publicum extruxit, quod natura sua Thermarum usum urbi suppeditavit. Archelao autem

fatis

Τῆς δὲ πρὸς ἀντολίην καταισύρεται ὑγρὸς Ὀρόντης.

ubi Scholiastes post aliam nominis rationem assignatam, hæc addit. Ἄλλοι δέ φασιν, ὅτι Καῖσαρ Τιβέριος ἐκ Δράκοντος αὐτὸν Ὀρόντην μετωνόμασεν, ὃ σημαίνει Ῥωμαίοις τὸ ἀνατολικόν. ὅτι πᾶσα ἡ περὶ Ἀντιόχειαν χώρα λιπαρά τε καὶ εὔβοτος, καὶ ἀγαθὴ μῆλα τρέφειν, καὶ δένδρεσι καρπὸν αὔξειν. Cæterum meras ineptias esse has, apparet ex Polybio, lib. 5. ubi Seleuciam, & Antiochiam describens, Orontis etiam mentionem facit. Ὁ δὲ καλούμενος Ὀρόντης ποταμὸς οὐ μακρὰν αὐτῆς ποιεῖται τὰς ἐκβολάς· ὃς τὴν ἀρχὴν τοῦ ῥεύματος λαμβάνων ἀπὸ τῶν κατὰ τὸν Λίβανον, καὶ τὸν Ἀντιλίβανον τόπων, καὶ διανύσας τὸ καλούμενον Ἀμύκης πεδίον, ἐπ' αὐτὴν ἱκνεῖται τὴν Ἀντιόχειαν &c. Polybius vero diem suum obiit, ante Tiberium Imp. anno circiter CXXXVI. anno nempe XVII. ante natum Ciceronem. Vide doctissim. J. Vossium de Histor. Gr. Strabo etiam, qui Tiberii σύγχρονος fuit, fluvium hunc ab Oronte quodam, qui pontem ei induxit, nomen accepisse testatur. Vid. Strab.

1. ὅθεν θέατρον οὐκ ἐπλήρωσεν] lego, ὅπερ θέατρον.

2. παρέχοντα τὴν χρῆσιν] Scr. παρέχον. Verum urbs hæc, non à Tiberio, sed ab Herode Tetrarcha, Tiberii Imp. in honorem extructa est. Audi Eusebium:

fatis defuncto, Tiberius Cappadociam, ejus regnum, Romano adjecit imperio.

Tiberii hujus temporibus anno urbis sui juris factæ LXXII, incendium accidit Antiochiæ Syriæ, quod per silentium noctis majorem Fori partem, & Senaculum consumsit. Conflagrarunt etiam eo tempore Musarum ædes, quas extruxerat Antiochus Philopator, ex pecuniis quas in hoc testamento suo legaverat Maro quidam Antiochenus: qui, mutatis sedibus, Athenas commigrans, ex facultatibus suis Musarum templum, & Bibliothecam extrui jusserat. Tiberius autem urbem quoque aliam in Thracia condidit, quam Tiberiam appellavit.

Anno autem XV imperantis Tiberii, Albano & Nerva Coss. S. Joannes Præcursor Baptismum Resipiscentiæ prædicare cœpit, & baptizare: ac à Prophetis prædictum fuerat. Exibat autem ad eum

πόλει. Ἐποίησε δὲ καὶ τὴν Καππαδοκίαν ὑπὸ Ῥωμαίους μετὰ τὴν τελευτὴν Ἀρχελάου, τοῦ τοπάρχου αὐτῆς.

Ἐν δὲ τοῖς χρόνοις τοῦ αὐτοῦ Τιβερίου, ἐμπρησμὸς ἐγένετο ἐν Ἀντιοχείᾳ τῆς Συρίας, τῷ οβ'. ἔτει τῆς αὐτονομίας αὐτῆς, ἐν νυκτὶ, ἀδήλως καύσας τὸ πλέον μέρος τῆς ἀγορᾶς, καὶ τὸ βουλευτήριον, καὶ τὸ ἱερὸν τῶν Μουσῶν, τὸ κτισθὲν ὑπὸ Ἀντιόχου τοῦ Φιλοπάτορος, [1] ἐκ τῶν ἐαθὲν χρημάτων κατὰ διαθήκας ὑπὸ Μάρωνος Ἀντιοχέως, μετοικήσαντος εἰς τὰς Ἀθήνας, καὶ κελεύσαντος τότε, ἐκ τῶν αὐτοῦ κτισθῆναι τὸ τῶν Μουσῶν ἱερὸν, καὶ βιβλιοθήκην. Ἔκτισε δὲ καὶ ὁ Τιβέριος πόλιν ἐν τῇ Θράκῃ ἄλλην, ἣν ἐκάλεσε Τιβερείαν.

[2] Τῷ δὲ ιε' ἔτει τῆς ὑπατείας αὐτοῦ, ἐν ὑπατείᾳ Ἀλβανοῦ, καὶ Νερβα, ἤρξατο ὁ ἅγιος Ἰωάννης ὁ πρόδρομος κηρύσσειν βάπτισμα μετανοίας, βαπτίζειν, κατὰ τὴν προφητικὴν φωνήν· καὶ ἀπῆλθε πρὸς αὐτὸν

sebium: Chron. l. 1. Ἡρώδης ἔκτισε Τιβεριάδα, εἰς ὄνομα Τιβερίου Καίσαρος. Stephanus etiam de Urb. Τιβεριὰς πόλις τῆς Ἰουδαίας, πρὸς τῇ Γεννησαρετίδι λίμνῃ· ἐκτίσθη δὲ ὑπὸ Ἡρώδου.

1. ἐκ τῶν ἐαθὲν χρημάτων] Ita habet Cod. MS. verum Librarius, mentem habens in aliis occupatam, vocabulum hoc ultima syllaba mutilavit: scribe ἐαθέντων.

2. τῷ δὲ ιε'. ἔτει τῆς ὑπατείας αὐτοῦ] ἴσ. βασιλείας. Ad annum vero Tiberii XIII. Coss. invenio Silanum & Nervam, apud Chr. Alex. Eusebius ibi ponit A. Pisonem, & M. Crassum; anno autem sequente, Silanum & Silium. Infra tamen Auctor Christum baptizatum asserit, Rufo & Rubellione Coss. recte: Hos enim Coss. proferunt ad an. Tiberii XV. & Chr. Alex. & Eusebius. Numerus itaque hic assignatus, atque ejus loco, τῷ ἢ ιδ'. ἔτει, legendum: quo tempore Joannes Baptismum suum, supradictis etiam sub Coss. forte incepisset. Verum Fastorum in Coss. designandis errores ubique persequi, labor esset & infinitus & inutilis: manum itaque de tabula.

πᾶσα

πᾶσα ἡ Ἰουδαία χώρα. Καὶ λοιπὸν ἀρχὴν ἐποιήσατο τῆς σωτηρίας ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, βαπτισθεὶς ὑπὸ τοῦ αὐτοῦ Ἰωάννου τοῦ προδρόμου, γενόμενος ἐνιαυτῶν περίπου λ΄, καὶ θαυματουργῶν. Ἐβαπτίσθη δὲ ἐν τῷ Ἰορδάνῃ, ποταμῷ τῆς Παλαιστίνης, μηνὶ Αὐδυναίῳ τῷ καὶ Ἰανουαρίῳ ἕκτῃ, [1] ὥρᾳ νυκτερινῇ ι΄, ἐν ὑπατείᾳ Ῥούφου, καὶ Ῥουβελλίωνος. Ἀπὸ τότε καὶ ὁ Βαπτιστὴς Ἰωάννης δῆλος ἐγένετο τοῖς ἀνθρώποις· καὶ ἀπέτεμεν αὐτὸν [2] Ἡρώδης ὁ βασιλεὺς, ὁ Φιλίππου, ὁ τοπαρχῶν, ἤτοι βασιλεύων τῆς Τραχωνίτιδος χώρας, ἐν Σεβαστῇ πόλει, τῇ πρὸ η΄ καλανδῶν Ἰουνίων, ἐν ὑπατείᾳ Φλάκκωνος καὶ Ῥουφίνου, διὰ Ἡρωδιάδα, τὴν γυναῖκα αὐτοῦ· ὅτι ἔλεγχεν αὐτῷ ὁ Ἰωάννης, οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου. καθὼς ἐν ταῖς θείαις ἐμφέρεται γραφαῖς ταῦτα. Καὶ λυπούμενος διὰ τὸν Ἰωάννην ὁ αὐτὸς βασιλεὺς Ἡρώδης ὁ δεύτερος, ὁ Φιλίππου, ἀνῆλθεν ἀπὸ τῆς πόλεως Σεβαστῆς ἐν Πανεάδι πόλει τῆς Ἰουδαίας. Καὶ προσῆλθεν αὐτῷ γυνή τις εὐπορωτάτη, οἰκοῦσα τὴν αὐτὴν Πανεάδα πόλιν, [3] ὀνόματι Βερονίκη,

omnis Judæa regio: tum demum primordia salutis Humanæ statuit D. N Jesus Christus, ab eodem Joanne Præcursore baptisatus, cum annum ageret XXX, aut eo circiter, miracula tum primum faciens. Baptizatus autem fuit in Jordane, Palæstinæ fluvio, Mensis Audynæi, sive Januarii VI, ad horam noctis X, Rufo & Rubellione Coss. Ex eo tempore innotescere hominibus cœpit Joannes Baptista; cui rex Herodes, frater Philippi, regis Trachonitidis, caput amputavit, in urbe Sebaste, VIII Kal. Junias, Flaccone & Rufino Coss. propter uxorem Herodiadem. Dixerat enim Herodi Joannes; Non licet tibi fratris tui uxorem habere: uti hæc in sacris Literis enarrantur. Herodes autem rex, ejus nominis secundus, Philippi frater, ob Joannem contristatus, Sebaste relicta, Paneadem, Judææ urbem, se recepit. Accessit autem ad eum, ejusdem urbis incola, mulier quædam opulenta, nomine Veronica. Huic in animo erat, statuam eri-

1. ὥρᾳ νυκτερινῇ ι΄.] Chr. Alex. ὥρᾳ ι΄. τῆς νυκτός· quam tamen lectionem Raderus rejicit, Librariique vitio imputat: idque merito. Nec enim verisimile est, officium hoc Salvatori Nostro à Baptista nocturno tempore præstitum fuisse.

2. Ἡρώδης ὁ βασιλεὺς, ὁ Φιλίππου ὁ τοπαρχῶν, ἤτοι βασιλεύων τῆς Τραχωνίτιδος &c.] Scr. τοῦ τοπαρχοῦντος, ἤτοι βασιλεύοντος τῆς Τραχωνίτιδος. Herodes enim Tetrarcha Galilæam; Philippus autem, frater ejus, Itureanı & Trachonitidem regionem, sibi subjectas habuerunt; uti apparet ex Sacris literis, Luc. 3. cap. 1.

3. ὀνόματι Βερονίκη] Βερνίκη; Jo. Damasceno est. Vide Jo. Gregorii de Auctore Prolegomena.

gere Jesu in honorem, qui eam à morbo liberaverat. At hoc non ausa facere, nisi prius impetrata regis venia, libellum supplicem Herodi obtulit, Christo Salvatori statuam in ea urbe erigendi licentiam petens. Libellus autem iste hic se habet.

Augustissimum Herodem, Toparcham, Judæis pariter & Gentibus Legislatorem, Trachonitidis Regem, Veronica, honorabilis urbis Paneadis incola, humillime precatur.

'Justitia, & erga homines 'benignitas, & quodcunque 'est virtutum omnium, divi'num caput vestrum, ceu co'rona cingunt. Quod ego neu'tiquam ignorans, ad te ac'cedo; spem optimam con'cipiens vota mea omnino 'obtinendi. Quid vero sibi 'vult hæc Præfatiuncula, se'quens te docebit oratio: Ego 'quidem ab ætate puerili 'fluxu sanguinis laborans, fa'cultates meas omnes, & for'tunas in medicos profudi; 'remedium vero inveni nul'lum. Ubi vero ad me per'venisset Christi illius fama, 'qui in Miraculis tantus erat, 'ut mortuos resuscitare, visum 'cœcis restituere, dæmonas è 'mortalium corporibus ejice-

βουλομένη, ὡς ἰαθεῖσα ὑπὸ τοῦ Ἰησοῦ, στήλην αὐτῷ ἀναστῆσαι. Καὶ μὴ τολμῶσα, δίχα βασιλικῆς κελεύσεως, τοῦτο ποιῆσαι, δέησιν ἐπέδωκε τῷ αὐτῷ Ἡρώδῃ βασιλεῖ, αἰτοῦσα ἀναστῆσαι στήλην τῷ σωτῆρι Χριστῷ, ἐν τῇ αὐτῇ πόλει. Ἥτις δέησις ἔχει οὕτως.

Σεβαστῷ Ἡρώδῃ, τοπάρχῃ, καὶ θεσμοδότῃ Ἰουδαίων τε, καὶ Ἑλλήνων, βασιλεῖ τῆς Τραχωνίτιδος χώρας, ἱκεσίας δεήσεις [1] παρὰ Βερονίκης, ἀξιωματικῆς πόλεως Πανεάδος.

Δικαιοσύνη, καὶ φιλανθρωπία, καὶ αἱ λοιπαὶ τῶν ἀρετῶν πασῶν περιστέφουσι [2] τὴν ἡμετέραν θείαν κορυφήν. ὅθεν κἀγὼ ταῦτα εἰδυῖα, ἧκον σὺν ἀγαθαῖς ταῖς ἐλπίσι, πάντως τῶν αἰτουμένων τευξομένη. Τίς δὲ ἡ τοῦ παρόντος προοιμίου κρηπὶς, προϊὼν ὁ λόγος σε διδάξει. ἐκ παιδόθεν ληφθεῖσα πάθει αἱμοῤῥοίας, ὀχετῶν εἰς ἰατροὺς, κατανάλωσά μου τὸν βίον, καὶ τὸν πλοῦτον· καὶ ἴασιν οὐχ εὗρον. Ἀκηκοῦα δὲ τὸν θαυμαζομένου Χριστοῦ τὰ ἰάματα, ὃς νεκροὺς ἐξανίστησι, καὶ τυφλοὺς πάλιν εἰς φάος ἕλκων, καὶ δαίμονας ἐκ βροτῶν ἀπελαύνων, καὶ πάντας τοὺς ἐν νόσοις μαραινομένους, λόγῳ θεραπεύει· πρὸς αὐτὸν οὖν κἀγὼ, ὡς πρὸς

1. παρὰ Βερονίκης, ἀξιωματικῆς πόλεως Πανεάδος] ἀξιωματικῆς ad Bernicen, non ad urbem referendum; uti Godefredus Tilmannus, Jo. Damasceni interpres, sensisse videtur. Ἀξιωματικοὶ sunt, qui in dignitate aliqua constituti sunt, & à plebe remoti.

2. τὴν ἡμετέραν θείαν κορυφήν] Scr. ὑμετέραν.

Θεὸν

Θεὸν, ἔδραμον. [1] Καὶ περιεσχηκυῖα τὸ περιέχον αὐτὸν πλῆθος, δειλιάσασα δὲ ἐξειπεῖν αὐτῷ καὶ τὴν ἀνίατόν μου νόσον, μή πως τὸν μολυσμὸν τοῦ πάθους ἀποστρεφόμενος, ὀργισθῇ κατ' ἐμοῦ, καὶ πλέον μοι ἐπέλθῃ ἡ πληγὴ τῆς νόσου· καθ' ἐμαυτὴν ἐλογισάμην, ὅτι, εἰ δυνηθείην ἅψασθαι τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, πάντως ἰαθήσομαι· καὶ λάθρα εἰς τὸ περὶ αὐτὸν εἰσδύσασα πλῆθος, ἐσύλησα τὴν ἴασιν, τοῦ κρασπέδου αὐτοῦ ἁψαμένη· [2] καὶ σταλείσης μου τῆς πηγῆς τοῦ αἵματος, γέγονα παραχρῆμα ὑγιής. Αὐτὸς δὲ μᾶλλον, ὡς προγνοὺς τῆς ἐμῆς καρδίας τὸ βούλευμα, ἀνέκραξε· Τίς μου ἥψατο; δύναμις γὰρ ἐξῆλθεν ἀπ' ἐμοῦ· Ἐγὼ δὲ ὠχειῶσα, καὶ στενοῦσα, τὴν νόσον θρασυτέραν ὑποστρέφειν ἐπ' ἐμὲ λογιζομένη, προσπεσοῦσα αὐτῷ, τὴν γῆν ἐπλήρωσα δακρύων, τὴν τόλμαν ἐξειποῦσα. Ὁ δὲ, ὡς ἀγαθὸς, σπλαγχνισθεὶς ἐπ' ἐμὲ, ἐπεσφράγισέ μοι τὴν ἴασιν, εἰρηκώς· Θάρσει θύγατερ, ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην. Οὕτως καὶ ὑ-

're, quoscunque denique morbos verbo solo sanare potuerit; ipsa quoque ad illum, tanquam Numen confugi. Turbam autem animadvertens circumstantem, verebar illi morbum meum insanabilem enarrare; ne forte spurcitiem mali aversatus, ira in me commoveretur; & morbus me inde sævior affligeret. Mecum igitur in animo reputans, quod si liceret vel fimbriam vestimenti attingere, statim convalescerem, occulte memet turbæ immiscebam; & fimbria ejus tacta, medelam suffurata sum, substitit enim sanguinis mei fluxus, & protinus sanata fui. ille vero cordis mei consilia præsentiscens, elata voce, Quis, inquit, me tetigit? Virtus enim ex me prodiit. Ego vero pallore suffusa, ingemiscens; reverita, ne in me repetitis viribus grassaretur morbus; ad pedes ejus provoluta, & terram lachrymis complens, audaciam meam profitebar. At ille, pro benignitate sua mei misertus, præstitam mihi valetudinem corroboravit, hoc dicto: Confide filia, fides tua te salvam fecit: Vade in pace. Similiter

---

1. Καὶ περιεσχηκυῖα τὸ περιέχον αὐτὸν πλῆθος] Jo. Damascenus habet, τῷ περιέχοντι αὐτὴν πλήθει, rectius: cæterum hoc ipsum loquendi genus barbarum apud nostrum frequenter occurrit.

2. καὶ σταλείσης μου τῆς πηγῆς] Damascenus habet, σταθήσης, (pro σταθείσης) haud recte. Στέλλω hoc loco, *reprimo*, sive *sisto*, significat: unde habemus apud Alexandr. Aphrodis. τὰ στέλλοντα τὴν κοιλίαν, quæ alvum sistunt, sive adstringunt.

'& vos, Auguſtiſſimi, uti voto 'meo annuatis, obnixe peto.

Hæc ubi ex libello ſupplici intellexiſſet Herodes, ad famam miraculi attonitus ſtetit; myſterium curationis horreſcens, petenti reſpondit: 'Hæc 'in te, O Mulier, facta ſanatio, maximi ſane digna eſt 'monumenti. Abi igitur, & 'ſtatuam ei erige qualem vis, 'honorem optatum illi exhibens, qui te ſanam reddidit.'

Statim itaque Veronica, quæ antehac Hæmorrhuſa fuerat, in media urbe ſua Paneade, Domino Deoque Noſtro, Jeſu Chriſto, ſtatuam erexit, ex ære ductili conflatam, auri etiam aliquantulum, & argenti admiſcens. Quæ quidem ſtatua adhuc viſitur in urbe Paneade, jam olim, ab eo loco ubi ſtetit, urbis in meditullio, tranſlata in ſanctam Ædem Oratoriam. Monumentum vero hoc inveni, in dicta urbe Paneade, apud Baſſum quendam, qui à Judaiſmo ad Chriſtianiſmum tranſierat; qui in eodem etiam libro antiquorum Judææ regum omnium res geſtas conſcriptas habuit.

Idem Rex Herodes, Philippi frater; ex repletione ægrotans, decubuit, per ſpatium

μεῖς, Σεβαστοὶ, τὴν δέησιν ὀξεῖαν τῇ δεομένῃ παράσχετε.

Ο δὲ βασιλεὺς Ηρώδης, ἀκηκοὼς ταῦτα διὰ τ̃ δεήσεως, ἐξεπλάγη διὰ τὸ θαῦμα· ϗ φοβηθεὶς τὸ μυστήριον τῆς ἰάσεως, εἶπεν· Αὕτη ἡ εἰς σε γενομένη ἴασις, ὦ γύναι, μείζονος στήλης ἐστὶν ἀξία. Πορευθεῖσα τοίνυν, οἵαν βέλει, ἀνάστησον αὐτῷ στήλην, προθέσει δοξάζουσα τ̃ ἰασάμενον.

Καὶ εὐθέως ἡ αὐτὴ Βερονίκη, ἡ πρώην αἱμόῤῥους, ἐν μέσῳ τ̃ ἰδίας αὐτῆς πόλεως Πανεάδος, ἀνέστησε τῷ Κυρίῳ ἡμῶν, ϗ Θεῷ Ιησοῦ Χριστῷ στήλην χαλκῆν [1] ἐκ χαλκοῦ θερμελάτου, συμμίξασα βραχύ τι μέρος χρυσοῦ, ϗ ἀργύρου. Ητις στήλη μένει ἐν Πανεάδι πόλει, ἕως τ̃ νῦν, [2] πρὸ πολλοῦ χρόνου μετενεχθεῖσα ἀφ' ὃ ἵστατο ἐν ...ῳ τῆς πόλεως τόπου, εἰς ἅγιον εὐκτήριον οἶκον. Οπερ ὑπόμνημα εὗρον ἐν τῇ αὐτῇ Πανεάδι πόλει παρά Βάσσῳ τινι, γενομένῳ ἀπὸ Ιουδαίων χριστιανῷ. Εν οἷς ὑπῆρχεν ὁ βίος πάντων τῶν βασιλέων τῶν βασιλευσάντων πρώην τῆς Ιουδαϊκῆς χώρας.

Ο δὲ αὐτὸς βασιλεὺς Ηρώδης, ὁ Φιλίππου, γενόμενος ἐμπληθὴς, [3] ἐκρίνετο ἐπὶ μῆνας η'. ϗ ἐσφάγη

1. ἐκ χαλκοῦ θερμελάτου] Scr. θερμηλάτου, uti habet Damaſcenus.

2. πρὸ πολλοῦ χρόνου] Damaſcenus legit, οὐ πρὸ πολλοῦ χρόνου.

3. ἐκρίνετο ἐπὶ μῆνας η'.] ſuſpicor legendum, ἐκλίνετο· aliter enim, nullus ſanus ſenſus ex verbis hiſce elici poterit. Herodem vero iſtum in exilio diem ſuum obiiſſe, quo tamen mortis genere incertum, dubitandum non eſt; nec enim eum unquam inde revocatum legimus. Vide Joſeph. Antiquſt lib. 18.

ἐν τῷ κουβικλείῳ αὐτοῦ, μετὰ τοὺς η' μῆνας, συνειδυίας καὶ τῆς γυναικὸς αὐτοῦ· καθὼς ὁ σοφώτατος Κλήμης συνεγράψατο.

Τῷ δὲ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας τοῦ αὐτοῦ Τιβερίου Καίσαρος, καὶ μηνὶ τῷ ζ', γενόμενος ἐνιαυτῶν περίπου λγ' ὁ Ιησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν, παρεδόθη ὑπὸ Ιούδα Ισκαριώτου, μαθητοῦ αὐτοῦ, ὁ αὐτὸς Κύριος καὶ σωτὴρ ἡμῶν, μηνὶ Δύστρῳ, τῷ καὶ [1] Μαρτίῳ, κγ', τῆς σελήνης ἐχούσης ἡμέραν ιγ'· ἦν γὰρ ἡμέρα πέμπτη, ὥρα νυκτερινὴ πέμπτη. Καὶ ἀπηνέχθη πρὸς τὸν Καϊάφαν ἀρχιερέα, κἀκεῖθεν ἐξεδόθη Ποντίῳ Πιλάτῳ ἡγεμόνι· καὶ εὐθέως ἡ γυνὴ τοῦ αὐτοῦ Πιλάτου, Πρόκλα, ἐδήλωσεν αὐτῷ. Μηδέν σοι καὶ τῷ δικαίῳ τούτῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν· Καὶ γνόντες τοῦτο οἱ Ιουδαῖοι, ἐστασίαζον, κράζοντες· ἆρον, ἆρον, σταύρωσον αὐτόν. Καὶ ἐσταυρώθη Κύριος ἡμῶν Ιησοῦς Χριστὸς [2] τῇ πρὸ η' καλανδῶν Απριλλίων, μηνὶ Μαρτίῳ κδ', τῆς σελήνης ἐχούσης ἡμέραν ιδ'· ἦν δὲ

VIII mensium: quibus exactis, in cubiculo suo, conscia etiam uxore, occisus est: sicut sapientissimus Clemens scriptis prodidit.

Anno autem XVIII, & mense VII, Imperantis Tiberii, Jesus Christus, Deus & Servator Noster, annos circiter XXXIII natus, à Juda Iscariota, discipulo suo, proditus est; Martii XXIII, die Lunæ, feria V, hora nocturna V. Abductus vero fuit ad Caiapham, Pontificem Maximum: exinde autem Pontio Pilato Præsidi traditus fuit. Procla vero Pilati uxor, misso statim nuncio, eum monuit, ne quid tentaret adversus justum illum hominem: 'Multa enim, inquit, 'hodie per somnium passa 'sum propter eum. Judæi vero, hoc cognito, tumultuantes exclamarunt: *Tolle, Tolle; Crucifige eum.* Crucifixus est itaque D. N. Jesus Christus VIII Kal. Apriles, Martii XXIV, die Lunæ XIV, hora die VI, cum esset Parasceve, sive, dies Prepara-

1. Μαρτίῳ κγ', τῆς σελήνης ἐχούσης ἡμέραν κγ'.] Cedrenus, & Chr. Alexand. Auctor, Salvatorem nostrum Martii XXIII. crucifixum, XXV. vero resurrexisse, & ex consequentia, XXII. à Juda proditum, volunt: noster tamen horum numero, diem alium in his omnibus addit; in lunæ tantum die cum eis conveniens.

2. τῇ πρὸ η'. καλανδῶν Απριλλίων.] Hic non sibi constat Auctor: VIII. enim Calendas Apriles incidit, non in Martii XXIV. sed XXV. Quod enim Romani computantes, VIII. Calendas (subaudi, *ante*,) Apriles, dicunt, Græci recentiores, τῇ πρὸ η'. καλανδῶν Απριλλίων, efferunt. Ita etiam Auctor noster supra, Christi nativitatem assignans, τῇ πρὸ η'. καλανδῶν Ιανουαρίων, μηνὶ Δεκεμβρίῳ κε'. ad VIII. Kal. Januarias, id est, Decembris XXV. eam ponit; recte.

tionis. Sol vero lumine orbatus eſt, & tenebræ factæ ſunt ſuper terram univerſam. Harum autem tenebrarum in ſcriptis ſuis meminit ſapientiſſimus Phlegon Athenienſis, hiſce verbis. ‘Anno regni ‘Tiberii Cæſaris decimo o-‘ctavo, Eclipſis ſolis erat ma-‘xima, qualem priora ſecula ‘videre nullam. Hora enim ‘diei ſexta nox erat tanta, ut ‘etiam ſtellæ apparerent.

Dominus vero noſter Jeſus Chriſtus filius Dei viventis, circiter ejuſdem Paraſceves horam IX, animam efflavit. Protinus per totum orbem terræ motus ingens exortus eſt, ſepulchra etiam aperta ſunt, & rupes diſſilierunt, mortuique reſurrexerunt: adeo ut Judæi ipſi dicerent; *Dei certe filius erat, quem crucifiximus*: uti hæc omnia in S. Scripturis veriſſime tradita habemus.

Hora vero X ejuſdem diei ſepultus eſt Jeſus Chriſtus, Sulpitio & Sylla Coſſ. anno Æræ Antiochenæ lxxix, Syriam tum procurante Caſſio, quem Tiberius Cæſar regioni ei præfecerat.

ἡμερινὴ ὥρα ἕκτῃ, τῆς ἡμέρας οὔσης παρασκευῆς. [1] Καὶ ἐσκοπίαθη ὁ ἴλιος, καὶ ἦν εἰς τὸν κόσμον σκότος· περὶ οὗ σκότους συνεγράψατο ὁ σοφώτατος Φλέγων ὁ Ἀθηναῖος, εἰς τὴν ἰδίαν αὐτοῦ συγγραφὴν ταῦτα. Τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας Τιβερίου Καίσαρος, ἐγένετο ἔκλειψις ἡλίου μεγίστη [2] πλέον τῶν ἐγνωσμένων πρότερον· καὶ νὺξ ὑπῆρχεν ὥρᾳ ἕκτῃ τῆς ἡμέρας, ὥστε καὶ τοὺς ἀστέρας φαίνεσθαι.

Ὁ δὲ Κύριος Ἰησοῦς Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ἔδωκε τὸ πνεῦμα τῇ αὐτῇ παρασκευῇ, ὥρα ἦν ὡς θ΄. καὶ εὐθέως ἐγένετο εἰς πάντα τὸν κόσμον σεισμὸς μέγας, καὶ τάφοι ἀνεῴχθησαν, καὶ πέτραι ἐσχίσθησαν, καὶ νεκροὶ ἀνέστησαν. (καθὰ ἐν ταῖς θείαις γραφαῖς ἐμφέρεται πάντα μετ' ἀληθείας·) ὥστε λέγειν τοὺς Ἰουδαίους, ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος, ὃν ἐσταυρώσαμεν.

Καὶ ἐτάφη ὁ Ἰησοῦς Χριστὸς [3] ὥραν δεκάτῃ τῆς αὐτῆς παρασκευῆς ἡμέρας, [4] ἐν ὑπατείᾳ Συλπικίου καὶ Σώλα, τοῦ ἑβδομηκοστοῦ ἐννάτου ἔτους χρηματίζοντος κατὰ Ἀντιόχειαν τὴν μεγάλην· ἡγεμονεύοντος δὲ τότε τῆς Συρίας Κασσίου, τοῦ καὶ προαχθέντος ὑπὸ τοῦ αὐτοῦ Τιβερίου Καίσαρος.

1. ἐσκοτίσθη ὁ ἴλιος] Scr. ἥλιος.

2. πλέον τῶν ἐγνωσμένων πρότερον] πλέον hoc loco redundat. Ceterum ipſa Phlegontis verba non producit Auctor noſter; quæ tamen habes apud Euſebium Chronic. lib. 1. Cum tamen alii Phlegontem hunc Trallianum appellent. unde Noſtro Athenienſis dictus eſt; Phlegontem enim illum, qui Hadriani libertus erat, quique Olympionica, & Chronica ſcripſit, hoc loco intelligere eum, non eſt quod dubitemus.

3. ὥραν δεκάτῃ] Scr. ὥρᾳ.

4. ὑπατείᾳ Συλπικίου καὶ Σώλα] Scr. Σύλλα. Sulpicium Galbam, & Syllam Coſſ. habent & Chr. Alex. & Euſebius; ſed ad annum XIX. Tiberii, anno ſcil. Chriſti paſſionem ſequente.

Ἀνέστη

Ἀνέστη δὲ ὁ Κύριος ἡμῶν, καὶ Θεὸς, Ἰησοῦς, μηνὶ Δύστρῳ, τῷ καὶ Μαρτίῳ, κε', ὥρα νυκτερινῇ δεκάτῃ, ἐπιφωσκούσης ἡμέρας Κυριακῆς, τοῦ αὐτοῦ Μαρτίου μηνὸς ἕκτης εἰκάδος, ἐχούσης τῆς σελήνης [1] ἡμέραν ἑξκαιδεκάτην· καὶ ἐφάνη τοῖς Ἀποστόλοις, καὶ ἄλλοις ἁγίοις πολλοῖς, καὶ συνανεστράφη αὐτοῖς ἐπὶ τῆς γῆς, μετὰ τὴν ἀνάστασιν, ἡμέρας μ'. καὶ ἀνελήφθη εἰς τοὺς οὐρανοὺς ὁ Κύριος ἡμῶν καὶ Θεὸς, Ἰησοῦς Χριστὸς, μηνὶ Ἀρτεμισίῳ, τῷ καὶ Μαΐῳ δ', ὥρα ἡμερινῇ ϛ', ἡμέρα ε'. Τῶν ἁγίων Ἀποστόλων ὁρώντων, καὶ πολλοῦ πλήθους ἄλλου, πῶς ὑπὸ νεφελῶν ἀνελήφθη· καὶ τῶν ἁγίων ἀγγέλων λεγόντων· Τί ἀτενίζετε εἰς τοὺς οὐρανοὺς, Γαλιλαῖοι ἄνδρες; οὗτός ἐστιν ὁ Ἰησοῦς.

Resurrexit vero Dominus Deus noster Jesus, Dystri, sive Martii Mensis xxv, hora noctis x, illucescente ejusdem Martii xxvi, qui dies erat Dominicus; die vero Lunæ xvi, Apostolis etiam suis, aliisque sanctis pluribus visus est; cum quibus etiam conversatus est, post resurrectionem suam, per dies xl. Artemisii vero, sive Maii mensis iv, hora diei ii, feria v, in cœlum assumptus est Dominus Deus Noster Jesus Christus, S. Apostolis, turbaque alia magna, una videntibus illum per nubes in Cœlos receptum; Sanctis Angelis interim dicentibus: 'Viri 'Galilæi, quid intentos oculos in Cœlum habetis? Iste Jesus est &c.

Καὶ κατῆλθε τὸ ἅγιον, καὶ ζωοποιὸν πνεῦμα εἰς τοὺς ἁγίους αὐτοῦ Ἀποστόλους, μηνὶ Ἀρτεμισίῳ, τῷ καὶ Μαΐῳ ιδ', ἡμέρα κυριακῇ, ὥραν γ' ἡμερινήν· ἡγεμονεύοντος τῆς Ἰουδαίας τοῦ αὐτοῦ Ποντίου Πιλάτου· ὅστις προεβλήθη ἀρχὴν τοῦ ἔθνους, ὑπὸ τοῦ αὐτοῦ Τιβερίου Καίσαρος, τοῦ καταλύσαντος τὴν βασιλείαν τῶν Ἰουδαίων, καὶ [2] προχειρισάμενον αὐτοῖς ἄρχοντα, ὃν ἠβουλήθη αὐτός, ἀρχιερατευόντων δὲ τοῦ Ἰουδαϊκοῦ ἔθνους Ἄννα καὶ Καϊάφα.

Mensis autem Artemisii, sive Maii xiv, die Dominico, hora diei iii, Spiritus Sanctus, & vivificus, in Sanctos ejus Apostolos descendit; Judæam tum procurante dicto Pontio Pilato; qui, post dissolutum a Tiberio Cæsare Judæorum regnum, ab eodem, Præsides pro arbitratu suo ubique constituente, huic Genti præfectus fuerat; sub Pontificatu vero Annæ & Caiphæ.

Μετὰ δὲ ἔτη τέσσαρα τῆς ἀναστάσεως, καὶ ἀναλήψεως τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπὶ τῆς βασιλείας

Eodem autem regnante Tiberio Cæsare, quatuor post annis quam salvator noster

1. ἡμέραν ἑξκαιδεκάτην] Scr. ἑξκαιδεκάτην.

2. προχειρισάμενον αὐτοῖς ἄρχοντα] Scr. προχειρισαμένου.

Jesus

Jesus Christus, surrectus à Mortuis, in Cœlum assumptus fuerat, (quo etiam tempore Paulus in Ciliciam transmigraverat, relicta Antiochia magna, ubi verbum Dei primus cum Barnaba, prædicasset, prope Pantheum, in vico Singonio:) eo, inquam, tempore Petrus ab Hierosolymis discedens, Antiochiam venit: ubi promulgato Evangelio, Episcopi munus suscepit. Christianorum vero, qui ex Judæis facti fuerant, persuasionibus adductus, qui ex Ethnicis erant fideles, non recepit; sed eorum nulla ratione habita, inde discessit. Divus autem Paulus Antiochiam magnam reversus, & de his certior factus; scandalum hoc ubique de medio sustulit, omnesque sine discrimine amplexus, ad salutem perducere conatus est: uti hæc Clemens, & Tatianus, sapientissimi Chronographi literis prodiderunt.

Tiberius autem naturæ cedens, diem suum obiit in Palatio, annos natus LXXVIII.

Tiberium in imperio excepit Ælius Caius Caligula. Hic privatus adhuc, Barbaris gentibus terrori fuit maximo: itaque & Senatus eum imperatorem designavit, Gallo & Non-

τοῦ αὐτοῦ Τιβερίου Καίσαρος, μετὰ τὸ ἐξελθεῖν τὸν ἅγιον Παῦλον ἀπὸ Ἀντιοχείας τῆς μεγάλης, (κηρύξαντα ἐκεῖ πρῶτον τὸν λόγον, ἐν τῇ ῥύμῃ τῇ πλησίον τοῦ Πανθέου, τῇ καλουμένῃ τοῦ Σίγγωνος,) ἅμα Βαρνάβᾳ, καὶ ἐπὶ τὴν Κιλικίαν ἐξελθεῖν· ὁ Πέτρος ἀπὸ Ἱερουσολύμων, ἐν τῇ αὐτῇ Ἀντιοχείᾳ παρεγένετο, καὶ τὸν λόγον ἐδίδασκε. Καὶ ἐκεῖ αὐτὸν ἐνθρονίσας, πεισθεὶς τοῖς ἀπὸ Ἰουδαίων γενομένοις χριστιανοῖς, τοὺς ἐξ ἐθνῶν πιστοὺς οὐκ ἐδέξατο, οὔτε ἠγάπα· ἀλλ' οὕτως ἐάσας αὐτοὺς, ἐξῆλθεν ἐκεῖθεν. Ὁ δὲ ἅγιος Παῦλος μετὰ ταῦτα ἐλθὼν ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ, καὶ μαθὼν ταῦτα περὶ τοῦ ἁγίου Πέτρου, πανταχοῦ τὸ σκάνδαλον περιεῖλε, [1] καὶ πάντας εἴσως ἐδέξατο, καὶ ἠγάπα, προτρεπόμενος ἅπαντας· καθὼς συνεγράψαντο ταῦτα οἱ σοφώτατοι, Κλήμης καὶ Τατιανὸς, οἱ χρονογράφοι.

Ὁ δὲ Τιβέριος βασιλεὺς τελευτᾷ ἰδίῳ θανάτῳ [2] ἐν τῷ παλατίῳ, [3] ὢν ἐνιαυτῶν οη'.

Eodem Imperante, ſanctus Symeon ſtylita è vivis exceſſit; quo tempore magiſter Militum Orientis erat Ardaburius Patricius, Aſparis filius. An-

1 Λέων ὁ μέγας, ὁ Βέσσος.] Ita etiam Jornandes, de Regnor. Succeſſ. *Leo Beßica ortus progenie, Aſparis patricii potentia ex tribuno militum factus eſt Imperator.* Beſſi autem Thraciæ populus: vide Solinum, cap. 16. Strabo Beſſos Illyrico adjudicat, Æmique montis partem maximam eos occupare ſcribit. Strabo lib. 7. Deinde vero, ὃς ἐβασίλευσε, aut quid tale deeſſe videtur.

2 ὁ ὑπὸ Μαρκιανοῦ στεφθείς.] Hoc falſum eſſe, ſupra notavimus.

3 λόγον.] Scr. λόγῳ

4 Συμεὼν ὁ στυλίτης.] De Symeone hoc Stylita, vide Evagrium lib. 1. cap. 13, & 14.

tiochensibus autem clamitantibus, & Justi illius reliquias sibi petentibus, Ardaburius, missa Gothorum armata manu, S. Symeonis corpus Antiochiam magnam deportavit. Antiochenses itaque Martyrium ei magnum extruxerunt; ubi Sanctus ille jacet, capulo reconditus.

Leonis hujus sub Imperio, Isocasius, vir Quæstorius, Philosophus, ex Ægis in Cilicia oriundus, apud Imperatorem delatus, Paganismi postulatus est. Erat hic civis Antiochiæ magnæ, qui multos magistratus cum laude gesserat: summæ enim erat prudentiæ. Cæterum jussu Imperatoris comprehensus, & exauctoratus, à Constantinopoli, ubi tum degebat, Chalcedonem missus est, ad Theophilum, Bithyniæ Præfectum; qui & examina-

λῆς. καὶ κραξάντων τῶν Ἀντιοχέων, καὶ αἰτησάντων τὸ σῶμα τοῦ δικαίου, ἔπεμψεν ὁ αὐτὸς Ἀρδαβούριος Γοτθικὴν βοήθειαν, καὶ ἤνεγκε τὸ λείψανον τοῦ ἁγίου Συμεῶνος ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ· καὶ ἔκτισαν αὐτῷ μαρτύριον οἶκος μέγας, καὶ ἐτέθη ἐν αὐτῷ εἰς σορόν.

Ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ Λέοντος, [1] κατηνέχθη Ἰσοκάσιος ὁ Κοιαισώριος, ὁ φιλόσοφος, ὡς Ἕλλην· ὅστις κατήγετο ἐκ γένους [2] Αἰγεώτης τῆς Κιλικίας· ἦν δὲ κτήτωρ Ἀντιοχείας τῆς μεγάλης. ὅστις διήνυσεν ἀρχὰς πολλὰς μετὰ δόξης· ἦν γὰρ σφόδρα λογικός· καὶ συσχεθεὶς κατὰ κέλευσιν τοῦ βασιλέως, διάγων τότε ἐν Κωνσταντινουπόλει, καὶ ἀποζωσθεὶς τῆς ἀξίας αὐτοῦ, παρεπέμφθη ἐν Χαλκηδόνι ἀπὸ Κωνσταντινουπόλεως, τῷ ἄρχοντι Βιθυνίας Θεοφίλῳ, ὅστις καὶ

1 κατηρρέθη Ἰσοκάσιος ὁ Κοιαισώριος.] Forte scripserit Auctor, κατηρρήθη, à κατερέομαι, passive sumpto: κατερέω enim est, *Accuso.* Mallem tamen κατηγορήθη, uti habet Chr. Alex. Κοιαισώριος vero, sive, ut habet Chr. Alex. Κυαισώριος, non *Quæstor* est, uti vertit Raderus; sed *Vir Quæstorius*, id est, qui Quæstoris munere aliquando functus est. Isocasium vero munere hoc defunctum fuisse apparet ex paulo infra sequentibus; ubi Jacobus Archiatrus ab Imperatore petit, uti Isocasius Constantinopoli, coram Senatu, & Præfecto Prætorio, non autem Provinciæ Præfecto, causam diceret, ἐπειδὴ Κοιαισώριος εἶχεν ἀξίας, *quoniam Munere Quæstorio functus fuerat.* Si enim hoc tempore Quæstor fuisset, non εἶχεν, sed ἔχει potius scripsisset Auctor. Confirmantur hæc ex ipsius etiam verbis hisce; ἀλλὰ δίκη καθαρᾷ δίκασον ἐπ' ἐμοί, ὡς ἐδικάζες σὺν ἐμοί. Ex quibus yerbis apparet Isocasium Pulxi Κοιαισώρα, sive πάρεδρον, id est, *Assessorem* aliquando fuisse. Quæstor enim iste Principis, vel etiam Magistratuum minorum Assessor erat. Procopius Goth. lib. 1. Φιδέλιόν τε πέμψαντες, ἄνδρα ἐκ Μεδιολάνων ὁρμώμενον, ἣ ἐν Λιβούροις, (lego, Λιγούροις) κεῖται, ὃς δὴ Ἀταλαρίχῳ παρέδρος ἐγεγόνει, (Κοιαίστωρα δὲ τὴν ἀρχὴν ταύτην καλοῦσι Ῥωμαῖοι) Βελισάριον εἰς Ῥώμην ἐκάλουν, &c. *Misso itaque Fidelio, ex Mediolano, quæ Liguriæ urbs est, oriundo, hic vero Atalarichi olim assessor fuerat, (quam dignitatem Romani Quæstorem vocant) Belisarium ad Romam vocant.* Belisarii vero Assessor erat Procopius iste, ex quo ista protulimus. Cedrenus tamen Isocasium hunc, Antiochiæ Quæstorem facit.

2 Αἰγεώτης.] Scr. Αἰγεάτης, ex Stephano.

τὰς

[1] τὰς φωνὰς αὐτοῦ ἔλαβεν. Ἰακώβου δὲ τοῦ κόμητος, καὶ ἀρχιατροῦ, τοῦ λεγομένου Ψυχίστου, παρακαλέσαντος τὸν βασιλέα· (ἐφίλει γὰρ ὁ βασιλεὺς τὸν αὐτὸν Ἰάκωβον, καὶ πᾶσα δὲ ἡ σύγκλητος, καὶ ἡ πόλις, ὡς ἄριστον ἰατρὸν, καὶ φιλόσοφον· ὥστε καὶ ἡ σύγκλητος εἰκόνα συνεστήσατο ἐν τῷ Ζευξίππῳ·) ὅστις Ἰάκωβος ἐδυσώπησε τὸν βασιλέα, [2] αἰτῶν αὐτῷ ἐν Κωνσταντινουπόλει ἐξαιταθῆναι τὸν αὐτὸν Ἰσοκάσιον, παρὰ τῇ συγκλήτῳ, καὶ τῷ ἐπάρχῳ τῶν πραιτωρίων, καὶ μὴ παρὰ ἄρχοντι ἐπαρχίας· ἐπειδὴ Κοιαίστωρος εἶχεν ἀξίας. καὶ πεισθεὶς ὁ βασιλεὺς Λέων, ἐκέλευσεν ἐνεχθῆναι ἀπὸ Χαλκηδόνος τὸν αὐτὸν Ἰσοκάσιον· καὶ ἐνεχθεὶς εἰς τὸν Ζεύξιππον, [3] ἐξαιτάζετο παρὰ τοῦ ἐπάρχου τῶν πραιτωρίων, Πουσαίου· καὶ ἐλάλησεν ὁ αὐτὸς Πουσαῖος κατὰ τοῦ Ἰσοκασίου, [4] εἰσελθόντος πρὸ βήματος γυμνοῦ, καὶ [5] δεδεμένα ὀπισθάγκωνα· "Ὁρᾷς σαυτὸν, Ἰσοκάσιε, ἐν ποίῳ σχήματι καθέστηκας; Ἀποκριθεὶς ὁ Ἰσοκάσιος, εἶπεν· ὁρῶ, καὶ οὐ ξενίζομαι. Ἄνθρωπος γὰρ ὢν, ἀνθρωπίναις περιέπεσα συμφοραῖς. ἀλλὰ δίκῃ καθαρᾷ δίκασον ἐπ' ἐμοὶ, ὡς ἐδίκαζες σὺν ἐμοί." καὶ ἀκούσας τοῦ Ἰσοκασίου ὁ δῆμος τῶν Βυζαντίων, ὁ ἑστὼς καὶ θεωρῶν, εὐφήμησε τὸν βασιλέα Λέοντα πολλά· καὶ

tionem ejus accepit. Jacobus autem erat quidam, cognomine Psychistrus, Comes, & Archiatrus, Imperatori ipsi, Senatuique, totique adeo populo percharus: cui etiam, tanquam Philosopho, & Medico eximio, Senatus in Zeuxippo statuam posuerat. Jacobus hic Imperatorem rogavit, uti Constantinopoli, coram Senatu, & Præfecto Prætorio, non autem Provinciæ Præfecto, caussam diceret Isocasius; ob dignitatem quam habuerat Quæstoriam. Exoratus Imperator, Isocasium Chalcedone reduci jussit: qui in Zeuxippum deductus, Pusæi, Præfecti Prætorio, examini subjectus est. Cumque nudus, & post terga revinctis lacertis, pro Tribunali accederet, exprobrans eum Pusæus: "Videsne, (inquit) Isocasi, quo habitu adstes?" Cui Isocasius; "Video, (inquit) nec demiror. Homo enim cum sim, in humanas incidi calamitates. Tu vero ita de Me judica, uti mecum de aliis judicasti." Hæc ubi ab Isocasio audivit populus Byzantinus, qui eventum expectans circumstitit; Imperatorem Leonem, faustis acclamationibus repetitis, celebrabat; & abstractum inde

1 τὰς φωνὰς αὐτοῦ ἔλαβεν.] Raderus vertit, *accusationem ejus accepit*: ego potius, *Examinationem*, vertendum, judicavi.

2 αἰτῶν αὐτῷ ἐν Κωνσταντινουπόλει ἐξαιταθῆναι.] Scr. αἰτῶν αὐτὸν ἐν K. ἐξεταθῆναι. De Jacobo vero hoc Medico, vide Marcellinum, in Leone.

3 ἐξαιτάζετο.] Scr. ἐξητάζετο.

4 εἰσελθόντος πρὸ βήματος γυμνοῦ.] Corrige Chr. Alex. ubi scribitur, εἰσ. προσδήλου γυμνοῦ.

5 δεδεμένα] Chr. Alex. habet, δεδεμένου, rectius.

Isocasium, à Zeuxippo ad Magnam Ecclesiam deduxerunt: ubi in Christianorum album relatus, & elementa fidei edoctus, sacroque fonte lustratus, in regionem suam remissus est.

Idem divinissimus Leo Imperator diebus Dominicis ab omni opere cessari jussit; promulgato super hoc Edicto Imperatorio, ne quis die Dominico tibia caneret, aliudve Instrumentum Musicum tractaret; sed quibuscunque negotiis abstinerent. Deinceps itaque ab omni opere feriatum est.

Circa id tempus Imperator Asparem Patricium, quem Tyrannidem moliri suspicabatur, (ut qui princeps Senatus esset) occidi jussit, intra Palatium: Ardaburium quoque, & Patricium, filios ejus, & ipsos etiam Senatores, in Conventu neci dedit, corporibus eorum in frusta concisis. Concitatus inde Constantinopoli tumultus: occisorum enim ex partibus ibi erat ingens Gothorum multitudo, præter Comites, ministros alios, atque affectatores

ἀποσπάσαντες αὐτὸν, ἀπήγαγον ἀπὸ τοῦ Ζευξίππου εἰς τὴν μεγάλην ἐκκλησίαν· καὶ δοὺς τὸ ὄνομα αὐτοῦ, κατηχήθη, καὶ ἐφωτίσθη· καὶ ἐπέμφθη εἰς τὴν χώραν αὐτοῦ.

Ο δὲ αὐτὸς θειότατος Λέων βασιλεὺς [1] τὰς κυριακὰς ἀπράκτους εἶναι ἐκέλευσεν· ἐκφωνήσας περὶ τούτου θεῖον αὐτοῦ νόμον, ἵνα μήτε αὐλῶσι κιθάρα, ἢ ἄλλο τι μουσικὸν λέγειν ἐν κυριακῇ, ἀλλὰ πάντας ἀργεῖν· καὶ πᾶς ἄνθρωπος ἠργεῖτο.

Επὶ δὲ τῆς αὐτοῦ βασιλείας, ὑπονοήσας τυραννίδα μελετᾷν Ασπαρα τὸν πατρίκιον, ὡς πρῶτον τῆς συγκλήτου, ἐφόνευσεν ἐν τῷ παλατίῳ, καὶ [2] Αρδαβούριον, καὶ Πατρίκιον, τοὺς υἱοὺς αὐτοῦ, ἐν κομβέντῳ, καὶ αὐτοὺς ὄντας συγκλητικοὺς, κατακόψας τὰ σώματα αὐτῶν. καὶ ἐγένετο ἐν Κωνσταντινουπόλει ταραχή· εἶχον γὰρ πλῆθος Γότθων, καὶ κόμητας, καὶ ἄλλους παῖδας, καὶ παραμένοντας αὐτοῖς ἀν-

1 τὰς κυριακὰς ἀπράκτους εἶναι.] Eadem habes apud Glycam, part. 4. in Leone I. Imp.

2 Αρδαβούριον, καὶ Πατρίκιον, τοὺς υἱοὺς αὐτοῦ.] Corrige Zonaram, ejusque interpretationem; ubi Patricius, non pro nomine proprio, sed pro Dignitate, accipitur. Verba hæc sunt: μέχρι δὲ τέλους ἀντέχειν μὴ οἷός τε ὢν, εἴκων ἀνάγκῃ, Καίσαρα ποιεῖ, ἀπὸ πατρικίου, τὸν τοῦ Ασπαρος παῖδα, Αρδαβουρίου δὲ ἀδελφόν· Omnino legendum, Καίσαρα ποιεῖ τὸν Πατρίκιον, τὸν τοῦ Ασπαρος παῖδα &c. *Patricius* enim, sive *Patriciolus*, dictus est Asparis filius natu minor. Habemus ex Jornande, de Reb. Get. & Marcellino Com. quorum utriusque hæc verba sunt: *Aspar primus Patriciorum, cum Ardabure & Patriciolo filiis, illo quidem olim Patricio, hoc autem Cæsare, generoque Leonis appellato, Arrianus cum Arriana prole Spadonum ensibus in palatio vulneratus interiit.* Eodem modo peccat & Cedrenus olim Patricium fuisse ait Marcellinus, inde est, quia ad hunc Leonis Imp. annum XIV, (quo Marcellinus hoc factum vult) anni elapsi fuerant XXV, ex quo Consulatum gesserat Ardabures. Corrigendum etiam Chr. Alex. ubi hæc mendosissima habentur. Christophorsonus etiam, Evagrii Interpres, Auctorem suum corrupit, ubi verba ejus pervertens, non Patricium, natu minorem, sed Ardaburium Asparis F. natu majorem, cum creare facit.

θρώπους

θρώπους πολλούς. ὅθεν εἷς Γότθος τῶν διαφερόντων τοῦ αὐτοῦ Ἄσπαρι, ὀνόματι Ὄστρυς, κόμης, εἰσῆλθεν εἰς τὸ παλάτιον τοξεύων, μετὰ ἄλλων Γότθων· [1] καὶ συμβολῆς γενομένης μετὰ τῶν ἐξκουβιτόρων καὶ αὐτοῦ Ὄστρυ, πολλοὶ ἐκόπησαν. καὶ μεσασθεὶς, εἶδεν ὅτι ἡττήθη, καὶ ἔφυγε· λαβὼν τὴν παλλακίδα Ἄσπαρος, Γότθαν εὐπρεπῆ, ἥτις ἔφιππος ἐξῆλθεν ἅμα αὐτῷ ἐπὶ τὴν Θρᾴκην· καὶ ἐπραίδευσε τὰ χωρεία. περὶ οὗ ἔκραξαν οἱ Βυζάντιοι· „ Νεκροῦ φίλος οὐδεὶς, „ εἰ μὴ μόνος Ὄστρυς.

Ὁ δὲ αὐτὸς βασιλεὺς Λέων διωγμὸν ἐποίησε τῶν Ἀρειανιστῶν Ἐξακιονιστῶν, διὰ Ἄσπαρα, καὶ Ἀρδαβούριον, [2] διὰ τάξεις πανταχοῦ καταπέμψας, μὴ ἔχειν αὐτοὺς ἐκκλησίας, ἢ συνάγεσθαι.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας [3] ἔβρεξεν ἐν Κωνσταντινουπόλει κονίαν ἀντὶ βροχῆς, καὶ ἐπὶ παλαιστῆ ὕψους ἔστηκεν εἰς τοὺς κεράμους ἡ κονία· καὶ πάντες ἔτρεμον, λιτανεύοντες, καὶ λέγοντες· „ ὅτι πῦρ ἦν, καὶ ἐσβέσθη, „ καὶ εὑρέθη κονία, τοῦ Θεοῦ φιλαν- „ θρωπευσαμένου.

Ἐγένετο δὲ ἐν τῇ αὐτοῦ βασιλείᾳ ἐμπρησμὸς μέγας ἐν Κωνσταντινουπόλει, οἷος οὐδέποτε· ἐκαύθη γὰρ ἀπὸ

eorum quamplurimos. Unde & Gothus quidam, Oſtrys nomine, Comes, & Aſparis ex Aſſeclis, in Palatium cum Gothis aliis irrumpens, ſpicula in Excubitores emiſit: inter quos & Oſtrym pugna commiſſa, plurimi ceciderunt. At vero Oſtrys, ubi ſe hoſtibus undique cinctum, viribuſque imparem vidiſſet, fugam capeſſit: abductaque ſecum Aſparis pellice, Gothica quadam fœmina formoſa, cum ea in equum poſita in Thraciam evaſit; ubi & agros deprædatus eſt. De hoc Byzantini diverbium habuerunt, dicendo: *Mortui amicus nemo, niſi ſolus Oſtrys.*

Idem Leo Imperator, Aſparis atque Ardaburii cauſa, Arianos Exocionitas perſecutus eſt: publicatis ubique Edictis, quibus Eccleſias habere eos, conventuſve ullos, vetuit.

Hujus temporibus Conſtantinopoli, pro imbre, cinis depluit, & quatuor digitos altus tegulis incubuit. Tremore inde perculſi omnes, in preces ſe dederunt, dicentes invicem: „ Utique ignis erat; quo Di- „ vina Miſericordia extincto, „ cinis inventus eſt.

Eodem imperante, tantum Conſtantinopoli extitit incendium, quantum antea nunquam: à mari enim ad mare

1 καὶ συμβολῆς γενομένης μετὰ τῶν ἐξκουβιτόρων.] Iſta vertit hoc modo Chr. Alex. Interpres: *& communicato cum Excubitoribus conſilio*; peſſime: nec in hoc ipſo errore hic tantum eſt.

2 διὰ τάξεις.] Scr. διατάξεις.

3 ἔβρεξεν ἐν Κωνσταντινουπόλει κονίαν.] Accidit hoc Leonis Imp. anno XV, ex Veſuvii montis ignitis eruptionibus: uti ex Marcellino Comite diſcimus, ad dictum annum. *Veſuvius Mons Campaniæ torridus inteſtinis ignibus æſtuans, exuſta vomit viſcera, nocturniſque in die tenebris omnem Europæ faciem minuto contexit pulvere. Hujus metuendi memoriam cineris Byzantii annue celebrant VIII Idus Novembr*

con-

conflagravit urbs. Leo itaque Imperator Palatium, de eo metuens ne ab ignibus corriperetur, deseruit: flumineque trajecto, D. Mamantem se contulit: ubi per sex menses in Processu commorabatur; extructis interim ibi portu, & Porticu, quam *Porticum Novam* appellavit; quo nomine usque adhuc vocatur.

Idem Imperator Leo navali prælio formidabili Sinzerichum Vandalum, Afrorum regem, impetebat, misso in eum cum classe ingenti Basilisco Patricio, Verinæ Augustæ, Leonis uxoris, fratre. Hic vero, pecuniis à Zinzericho Vandalorum rege acceptis, classem, cum Exarchis, & comitibus, exercituque omni, prodidit; solusque ipse, cum liburna sua, fugam primus capessens, evasit; cæteris navibus omnibus, cum exercitu, mari submersis. Inter quos Damonicus dux fuit, Antiochia magna oriundus; qui & exercitum ducebat, & ipse strenue contra Afros pugnabat: solus autem in mediis hostibus cum esset, correptus est, & armatus sicut erat, in mare disjectus. Basiliscus interim, bello superatus, Constantinopolim reversus est.

Eodem imperante Leone

θαλάσσης, ἕως θαλάσσης· καὶ φοβηθεὶς τὸ παλάτιον, ἐξῆλθεν ὁ βασιλεὺς Λέων πέραν εἰς τὸν ἅγιον Μάμαντα· καὶ ἐποίησεν ἐκεῖ μῆνας ἓξ ἐν προκένσῳ· καὶ ἔκτισεν ἐκεῖ λιμνάειον καὶ ἔμβολον, [1] ὅπερ ἐκάλεσε, νέον ἔμβολον· ὅστις οὕτω καλεῖται ἕως τῆς νῦν.

Ἐπεστράτευσε δὲ ὁ αὐτὸς Λέων, ἐν τοῖς χρόνοις τῆς αὐτοῦ βασιλείας, [2] κατὰ Σινζηρίχου Ουανδαλύριγος τῶν Ἀφρῶν, πόλεμον ναυμαχίας φοβερόν· καὶ ἔπεμψε στόλον μέγαν, καὶ Βασιλίσκον τὸν Πατρίκιον, τὸν ἀδελφὸν Βηρίνης τῆς Αὐγούστης, τῆς γυναικὸς τοῦ αὐτοῦ Λέοντος. ὅστις Βασιλίσκος λαβὼν χρήματα παρὰ Ζινζηρίχου ῥηγὸς τῶν Ουανδάλων, καὶ προέδωκε τὰ πλοῖα, καὶ τοὺς ἐξάρχους, καὶ τοὺς κόμητας, καὶ τὸν στρατὸν πάντα· καὶ μόνος, μετὰ τοῦ ἰδίου πλοίου, [3] ἤτοι λιβέρνου, πρῶτος ἔφυγε· τὰ δ' ἄλλα πλοῖα πάντα, καὶ ὁ στρατὸς ἀπώλετο, ἐν τῇ θαλάσσῃ βυθισθέντα. ἐν οἷς καὶ Δαμονικὸς, ὁ ἀπὸ δουκῶν, γενόμενος στρατηλάτης ἐξπεδίτου, καταγόμενος ἐκ τῆς Ἀντιοχέων μεγάλης πόλεως, ἀνδραγαθήσας κατὰ τῶν Ἀφρῶν, καὶ μονωθεὶς ἐμεσάσθη, καὶ συνελήφθη καὶ ἐρρίφη εἰς τὸν βυθὸν ἔνοπλος. καὶ ὑπέστρεψεν ὁ Βασιλίσκος ἐν Κωνσταντινουπόλει, ἡττηθείς.

Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ

---

1 ὅπερ ἐκάλεσε νέον ἔμβολον.] Scr. ὅνπερ. De incendio hoc, vide Zon. & Cedren.

2 κατὰ Σινζηρίχου Ουανδαλέριγος τῶν Ἀφρῶν.] Lego, Ουανδάλου, ῥηγὸς τῶν Ἀφρῶν. De prælio vero hoc navali inter Gizerichum (ita enim aliis dictus est) & Basiliscum, vide Procopium, de bello Vandal. lib. 8.

3 ἤτοι λιβέρνου.] Λίβερνον, sive λίβυρνον, uti aliis scribitur, *Liburna*, est.

Λέοντος

Λέοντος ἐσφάγη Ἀνθίμιος, ὁ βασιλεὺς ἐν Ῥώμῃ· ἐν ἔχθρᾳ γὰρ γενόμενος τοῦ ἰδίου αὐτοῦ υἱοῦ γαμβροῦ Ῥεκίμερ, τοῦ στρατηλάτου, φοβηθεὶς αὐτὸν, ὡς Γότθον, ἀπῆλθεν εἰς τὸν ἅγιον Πέτρον προσφεύγων ὁ βασιλεὺς Ἀνθίμιος, φησὶν, ὡς ἄῤῥωστος. καὶ γνοὺς Λέων ὁ βασιλεὺς, ἔπεμψεν ἐν Ῥώμῃ τὸν πατρίκιον Ὀλύβριον [1] τῶν Ῥωμαίων, [2] μετὰ τὴν ὑπατείαν αὐτοῦ, ἣν δέδωκεν ἅμα Ῥουστικίῳ, εἰς τὸ, φησὶ, ποιῆσαι φίλους τὸν βασιλέα Ἀνθίμιον, καὶ τὸν γαμβρὸν αὐτοῦ Ῥεκίμερ, ὡς ὄντας ἐκ τῆς συγκλήτου Ῥώμης· καὶ κελεύσας αὐτῷ, ὅτι, μετὰ τὸ γενέσθαι Ἀνθίμιον καὶ Ῥεκίμερ φίλους, ἐκ τῆς Ῥώμης ἐξέλθῃ, καὶ ἀπέλθῃ πρὸς Ζινζήριχον Οὐάνδαλον, τὸν ῥῆγα τῆς Ἀφρικῆς, ὡς ἔχων παῤῥησίαν πρὸς αὐτὸν, διότι [3] τὴν γαμετὴν τῆς σῆς ἀδελφῆς Πλακιδίας ἔχει νύμφην τὸν υἱοῦ αὐτοῦ· καὶ πεῖσαι αὐτὸν φίλον μου γενέσθαι. ὑπελάμβανε δὲ ὁ αὐτὸς βασιλεὺς Λέων τὸν αὐτὸν Ὀλύβριον, ὅτι ἀντείχετο Ζινζηρίχου, καὶ ὅτι τὰ μέρους αὐτοῦ ὑπῆρχε· καὶ παρεφυλάττετο αὐτὸν ὁ Λέων, μὴ ἐὰν νικήσῃ κατὰ Λέοντος Ζινζήριχος πόλεμον, παραδώσει ὁ αὐτὸς Ὀλύβριος Κων-

Anthemius, rex Romanus, è medio sublatus est. Huic intercesserunt cum genero suo Recimere graves inimicitiæ; à quo, tanquam Gotho, metuebat sibi. Itaque templum D Petri, asylum quærens, sed valetudinem prætendens, Anthemius se recepit. Hæc ubi audivisset Leo Imperator, Olybrium, Patricium Romanum, post munera Consularia ab eo & Rusticio, in populum sparsa, Romam misit; uti, quæ inter Anthemium & generum ejus Recimerem, Senatorem utrumque Romanum, intercesserant, inimicitias consopiret. Insuper etiam ei in mandato dedit, postquam Anthemium & Recimerem conciliasset, uti Roma discedens, Zinzerichum Vandalum, Africæ regem, adiret; (apud quem, quod uxoris ejus Placidiæ sororem filio suo desponsatam haberet, plurimum eum posse non dubitavit:) illumque in gratiam secum redire suaderet. Suspicatus quippe est Leo Imperator, Olybrium pro Zinzericho stare, & partes ejus secreto agere. Cavebat itaque sibi ab eo, ne si forte Zinzerichus in se bella moveret, Olybrius, ut qui ei af-

1 τῶν Ῥωμαίων.] Forte scribend. τὸν Ῥωμαῖον.

2 μετὰ τὴν ὑπατείαν αὐτοῦ, ἣν δέδωκεν ἅμα Ῥουστικίῳ] Ὑπατεία nummus dicitur, à Magistratibus in populum sparsus : uti supra dictum est. Verum hæc dissona sunt ab aliis historicis : Olybrius enim & Rusticius Consulatum gesserunt, Leonis Imp. anno VII; cum tamen Anthemius à Leone Romanus Imperator non constitutus fuerit, ante imperii sui annum X. Vide Marcellinum Comit. & Chr. Alex.

3 τὴν γαμετὴν τῆς σῆς ἀδελφῆς.] Manifestam vocabulorum ἀταξίαν hic habemus : legendum, τὴν ἀδελφὴν τῆς σῆς γαμετῆς Πλακιδίας. Placidiam enim, Valentiniani Imp. filiam alteram, uxorem habuit Olybrius; alteram vero, nomine Eudociam, Genserichus F. suo Honoricho matrimonio junxerat.

finitate junctus esset, Constantinopolim Zinzericho proderet; Imperiumque inde sibi comparaturus esset. Post itaque quam Olybrius Romam versus abierat, relictis Constantinopoli filia sua, uxoreque Placidia, sacratissimus Imperator Leo Magistriano literas Anthemio Romanorum regi deferendas dedit, in hæc verba: "Ego (inquit) Asparem, atque "Ardaburium è medio sustuli; "ne quis superesset, qui mihi "imperanti adversaretur. Sed "& Tu quoque Recimerem "generum tuum occidito; ne "sit, qui tibi imperitet. Quin "& Olybrium quoque Patri- "cium ad te misi; ipsum etiam "occidas, velim: nempe ut "regnes, aliis imperans, non "subserviens. Collocaverat autem Recimer ad portum, portasque Romæ singulas præsidium Gothicum: nec prius cuiquam patebat aditus, quam quid haberet apud se aperuisset. Modestus itaque Magistrianus, qui à Leone missus fuerat ad Anthemium, ubi Romam venit, exploratione statim facta, Literæ Imperatoriæ, à Leone ad Anthemium missæ, ei ablatæ sunt: quas Recimeri

σαντινούπολιν τῷ Ζινζηρίχῳ, ὡς συγγενής, καὶ ὅτι [1] βασιλεύει ὁ αὐτὸς Ὀλύβριος ἐν Κωνσταντινουπόλει. καὶ μετὰ τὸ ὁδεῦσαι Ὀλύβριον ἐπὶ τὴν Ῥώμην, ἐάσαντα τὴν ἑαυτοῦ γυναῖκα Πλακιδίαν, καὶ τὴν θυγατέρα αὐτοῦ ἐν Κωνσταντινουπόλει· ἔγραψεν [2] ὁ θειότατος θεῖος βασιλεὺς Λέων [3] διὰ μαγιστριανοῦ Ἀνθημίῳ βασιλεῖ τῆς Ῥώμης ταῦτα· "ὅτι, ἐγὼ ἐφό- "νευσα Ἄσπαρα, καὶ Ἀρδαβούριον, "ἵνα μηδείς μοι [4] ἐναντιοῦται κελεύ- "οντι· ἀλλὰ καὶ σὺ φόνευσον τὸν γαμ- "βρόν σου, Ῥεκίμερ· ἵνα μὴ ἐπάνω "σου κελεύῃ. ἰδοὺ, ἀπέστειλά σοι καὶ "Ὀλύβριον τὸν πατρίκιον· φόνευσον "καὶ αὐτὸν, καὶ βασίλευσον κελεύων, "καὶ μὴ κελευόμενος. ἦν δὲ ἀφορίσας ὁ Ῥεκίμερ εἰς ἑκάστην πόρταν Ῥώμης, καὶ εἰς τὸν λιμένα, βοήθειαν Γοτθικήν· καὶ εἴ τις εἰσήρχετο ἐν Ῥώμῃ, ἐρευνᾶτο, τί ἐπεφέρετο. καὶ ἀπελθόντος [5] τοῦ μαγίστρου Ἀνημοδέστου, τοῦ πεμφθέντος ἀπὸ Λέοντος πρὸς Ἀνθήμιον βασιλέα, καὶ ἐρευνηθέντος, ηὑρέθησαν αἱ σάκραι Λέοντος, αἱ πρὸς Ἀνθήμιον, καὶ εἰσηνέχθησαν τῷ Ῥε-

1 βασιλεύει.] Forte scribend. βασιλεύσει.

2 ὁ θειότατος θεῖος βασιλεύς.] Epithetorum horum alterum omnino redundat.

3 διὰ μαγιστριανοῦ] Μαγιστριανός, *Magistriani*, dicti sunt, Officiales Magistri Officiorum. Vide doctissimi Fabroti Glossar. ad Cedrenum. Apud Nostrum tamen sensu latiore pro Legato quolibet, sive nuncio Regio accipi videtur: ita infra lib. 18. Persis Officiales hujusmodi attribuit. ὅτι δὲ ἀνηγορεύθη βασιλεὺς Περσῶν Χοσρόης, ἐδήλωσε τοῖς πρεσβευταῖς Ῥωμαίων, διὰ Πέρσου μαγιστριανοῦ, εἰσελθεῖν ἐν τοῖς Περσικοῖς, &c. *Chosroes vero Persarum Rex factus, Romanorum Legatos per Magistrianum Persam monet, uti in Persidem venirent, &c.*

4 ἐναντιοῦται.] Scr. ἐναντιῶται.

5 τοῦ μαγίστρου Ἀνημοδέστου.] Ita Cod. MS. Lego, τοῦ μαγιστριανοῦ Μοδέστου.

κίμερ·

κίμερ· καὶ ἔδειξεν αὐτὰς Ὀλυβρίῳ. καὶ λοιπὸν ἔπεμψεν ὁ Ῥεκίμερ πρὸς Γουνδαβάριον, τὸν υἱὸν τῆς ἀδελφῆς αὐτοῦ, καὶ ἤγαγεν αὐτὸν ἀπὸ τῶν Γαλλιῶν· ἐκεῖ γὰρ ἦν στρατηλάτης. ὅστις ἐλθὼν, ἐφόνευσε τὸν Ἀνθίμιον βασιλέα, [1] ὃς ἐστιν εἰς τὸν ἅγιον οἶκον τοῦ Ἀποστόλου Πέτρου· καὶ εὐθέως ἀπῆλθεν εἰς τὰς Γαλλίας ὁ αὐτὸς Γουνδαβάριος. καὶ ἔστεψεν ὁ Ῥεκίμερ βασιλέα Ὀλύβριον, μετὰ γνώμης τῆς συγκλήτου Ῥώμης· καὶ ἐβασίλευσεν ὁ αὐτὸς Ὀλύβριος τῆς Ῥώμης μῆνας ὀλίγους· καὶ ἀῤῥωστήσας, ἐτελεύτα. καὶ [2] ἐποίησε πάλιν ἄλλον βασιλέα ὁ Ῥεκίμερ, ἀπὸ τῆς συγκλήτου τῆς αὐτῆς Ῥώμης, Μαιουεῖνον· καὶ ἐφόνευσαν καὶ αὐτὸν, ὡς φιλήσαντα Ζινζήριχον, ῥῆγα τῶν Ἀφρων. καὶ ἐποίησεν ἀντ' αὐτοῦ πάλιν ἄλλον βασιλέα ἐν τῇ Ῥώμῃ, ἀπὸ τῆς συγκλήτου, ὀνόματι Νέπον, ὁ αὐτὸς Ῥεκίμερ· καὶ τελευτᾷ ὁ Ῥεκίμερ.

Ὁ δὲ αὐτὸς Λέων βασιλεὺς ἔλαβε γαμβροὺς δύο ταῖς θυγατράσιν αὐτοῦ· Λεοντίᾳ, τῇ μείζονι, Μαρκιανὸν τὸν πατρίκιον, τὸν υἱὸν [3] γενομένου Ἀνθιμίου, βασιλέως Ῥώμης· καὶ Ἀριάδνῃ, Ζήνωνα τὸν Ἴσαυρον, τὸν Κοδισσέον· καὶ

traditas, ipse Olybrio communicavit. Statim itaque Recimer Gundabarium, sororis filium, ex Galliis, ubi Magister Militum erat, accersit. Gundabarius itaque Romam venit, & Anthemio Rege in ipso templo S. Apostoli Petri, quo se receperat, occiso, Gallias deinceps repetivit. Tum vero Recimer Olybrium, Senatu approbante, Romæ regem constituit: qui, ubi mensibus paucis regnasset, in m[or]bum incidens, fato succubuit. Cui Recimer Majorinum quendam, ex Senatoribus Romanis, successorem designavit. Hic vero, tanquam Zinzerichi Afrorum Regis studiosus, è medio sublatus est: Senatore etiam alio, Nepote vocato, ad Occidentis imperium à Recimere provecto. Tandem vero Recimer diem suum obiit.

Cæterum Leo Imperator filiæ utrique virum comparavit, natu majori Leontiæ Marcianum Patricium, Anthemii Romani Regis filium; Ariadnæ vero Zenonem Isaurum, Codisseum: quorum utrumque

1 ὃς ἐστιν.] Scr. ὡς ἐστιν.

2 ἐποίησε πάλιν ἄλλον βασιλέα ὁ Ῥεκίμερ ἀπὸ τῆς συγκλήτου τῆς αὐτῆς Ῥώμης Μαιουεῖνον.] Omnia hic pessime confundit Auctor noster: Maioranus enim, sive Majorinus, (ut noster, Græcique alii eum vocant) ante Olybrium, Occidentale habuit imperium; inter hos etiam duobus aliis intervenientibus. Regum horum Romanorum series hæc est, ex Marcellino, & Jornande: *Maioranus*, à Marciano Imp. rex factus; *Severus*; *Anthemius*, à Leone Romam missus Imperator: *Olybrius*; *Glycerius*; *Nepos*; qui Glycerium, à regno dejectum, Episcopum fecit. Hunc Νέπον, infra vocat Auctor, tanquam à Νέπος, Νέπου· eumque à Recimere Regem creatum asserit, falsissime: Recimer enim ante Olybrium, fatis concessit, teste Paulo Diacono, lib. 16. *Post mensem tertium* (occisi Anthemii) *excruciatus languoribus & ipse* (Recimer) *interiit. Mortuo Recimere, Olimbrius Imperator Gundibarum, ejus nepotem, Patritium effecit.*

3 γενομένου.] Scr. γενόμενον.

Patricia dignitate, & Præsentis Militiæ Præfectura honestavit. Masculum vero primogenitum edidit Illustrissima Ariadna, quam Leonem vocavit: Clarissima enim Leontia fœminas tantum produxit.

ἐποίησεν ἀμφοτέρους στρατηλάτας Πραισέντου, καὶ πατρικίους. ἔτεκε δὲ ἡ περιφανεστάτη Ἀριάδνη πρωτότοκον ἄῤῥενα, ὃν ἐπεκάλεσε Λέοντα· ἡ γὰρ Λεοντία ἡ ἐμφανεστάτη θηλείας ἔσχε μόνον.

Leo Junior

Imperator.

Leo autem Imperator nepotem suum, Leonem Juniorem, Zenonis filium, in Imperii consortium assumpsit, quem & Constantinopoli Diademate insignivit. Cæsar itaque factus Leo Minor, Consulatum inibat, mense Januario Indictionis XII, Æræ Antiochenæ anno DXXII. Sequentis autem Februarii die 3. Leo Magnus ex Dysenteria mortuus est, ætatis anno LXXIII.

Leone Magno demortuo, imperium tenuit Leo Junior, annum I, & dies XXIII. Hic, cum puer esset tenellus, matris suæ Illustrissimæ Ariadnæ monitu, patris sui Zenonis, Militum Magistri, & Patricii, (dum ipsum, ceu Imperatorem veneraretur) capiti regium Diadema imposuit, Februarii IX, Indict. XII; simulque deinceps regnarunt.

Ο δὲ βασιλεὺς Λέων ἔστεψεν ἐν Κωνσταντινουπόλει Λέοντα τὸν μικρὸν, τὸν ἔγγονον αὐτοῦ, υἱὸν δὲ Ζήνωνος, ποιήσας αὐτὸν βασιλέα ἅμα αὐτῷ. καὶ προῆλθεν ὕπατος ὁ αὐτὸς Καῖσαρ Λέων ὁ μικρὸς, τῷ Ἰαννουαρίῳ μηνὶ, τῆς δωδεκάτης ἐπινεμήσεως, τοῦ φκβ΄ ἔτους κατὰ Ἀντιόχειαν. τῷ δὲ μετ᾽ αὐτὸν Φεβρουαρίῳ μηνὶ γ΄, νόσῳ βληθεὶς ὁ βασιλεὺς Λέων ὁ μέγας [1] δυσεντερείας, τελευτᾷ, ὢν ἐνιαυτῶν ογ΄.

Μετὰ δὲ τὴν βασιλείαν Λέοντος τοῦ μεγάλου, ἐβασίλευσε Λέων ὁ μικρὸς ἔτος α΄, καὶ ἡμέρας εἰκοσιτρεῖς· ἦν δὲ παιδίον μικρόν. ὑπεβλήθη δὲ ὑπὸ τῆς ἰδίας αὐτοῦ μητρὸς, τῆς ἐπιφανεστάτης Ἀριάδνης· καὶ ὡς προσκυνεῖ αὐτὸν ὡς βασιλέα Ζήνων ὁ στρατηλάτης, ὁ πατρίκιος, [2] ὁ αὐτοῦ πατὴρ, ἐπέθηκε στέφανον βασιλικὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, τῇ ἐννάτῃ τοῦ [3] Περιτίου μηνὸς, τῆς δωδεκάτης ἐπινεμήσεως· καὶ ἐβασίλευσεν ἅμα.

---

1 δυσεντερείας.] Scr. δυσεντερίας. De hoc vero Leonis morbo stupendo, vide quæ Cedrenus habet.

2 ὁ αὐτοῦ πατήρ.] Chr. Alex. habet, ὁ αὐτοῦ πάππος, mendose: non enim avus, sed pater Leonis erat Zeno.

3 Περιτίου.] Scr. Περιτίῳ.

ZENO

ZENO
IMPERATOR

Ἐβασίλευσε δὲ ὁ αὐτὸς βασιλεὺς Ζήνων, ὁ Κοδισσέος, ὁ Ἴσαυρος, μετὰ τοῦ ἰδίου αὐτοῦ υἱοῦ Λέοντος ὀλίγον χρόνον· καὶ προῆλθεν ὕπατος ὁ θειότατος Λέων ὁ μικρὸς, ἔτους κατὰ Αντιόχειαν φκβ', ἰνδικτιῶνος δωδεκάτης· καὶ τῷ ἑνδεκάτῳ μηνὶ τῆς αὐτοῦ ὑπατείας ἠῤῥώστησε, καὶ τελευτᾷ ὁ θειότατος Λέων ὁ μικρὸς, μηνὶ Νοεμβρίῳ, ἰνδικτιῶνος ιγ', ἔτους χρηματίζοντος κατὰ Αντιόχειαν φκγ', [1] ὢν ἐνιαυτῶν ζ'· καθὼς συνεγράψατο Νεστοριανὸς ὁ σοφώτατος χρονογράφος, ἕως Λέοντος τοῦ μικροῦ.

Imperator itaque Zeno Isaurus, Codisseus, cum filio suo Leone, ad breve licet tempus, imperavit. Sacratissimus enim Leo Junior, cum Consulatum suum inivisset anno Æræ Antiochenæ DXXII, Indict. XII, Consulatus sui mense XI; in morbum incidens, è vivis excessit, mense Novembri, Indict. XIII, anno Æræ Antiochenæ DXXIII, annum agens septimum: sicuti scriptum reliquit Nestorianus, sapientissimus Chronographus; qui historiam suam ad Leonem usque Juniorem perduxit.

1 ὢν ἐνιαυτῶν ζ'] Quomodo hoc esse potuit, haud video: Chr. Alexand. tamen annos XVII eum vixisse asserit: uterque proculdubio fallò; uterque tamen Nestorianum eundem auctorem habet. Procopius enim eum, haud multos dies natum, Imperatorem salutatum fuisse, scribit: Τελευτήσαντος δὲ καὶ Λέοντος ἐν Βυζαντίῳ, παρέλαβε τὴν βασιλείαν Λέων ὁ Ζήνωνος τε καὶ Αριάδνης τῆς Λέοντος θυγατρὸς, ἐς ἡμερῶν ἔτι ὀλίγων τοῦ ἡλικίαν ἥκων. Auctor etiam noster supra, eum παιδίον μικρὸν fuisse testatur. Imperium vero tenuit non anno toto uno. Procop. de bel. Vandal. lib. 1.

ΛΟΓΟΣ ΙΕ'.

ΧΡΟΝΩΝ ΒΑΣΙΛΕΙΑΣ
ΖΗΝΩΝΟΣ,
ΕΩΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ
ΑΝΑΣΤΑΣΙΟΥ.

LIBER XV.

DE TEMPORIBUS
ZENONIS IMPERATORIS,
ADUSQUE
ANASTASII IMPERIUM.

POST mortuum autem Leonem Juniorem, Imperium tenuit Sacratiſſimus Zeno, per annos XV. Menſe autem Imperii ſui octavo, Petrum, S. Euphemiæ Chalcedonenſis Paramonarium, Epiſcopum, ſive Patriarcham Antiochenſem conſtitutum, Antiochiam miſit. Poſt vero quam duobus annis & decem menſibus regnaſſet,

ΜΕΤΑ δὲ τὴν βασιλείαν Λέοντος τοῦ μικροῦ, ἐβασίλευσεν ὁ θειότατος Ζήνων, ἔτη ιε'. καὶ τῷ μηνὶ τῷ ὀγδόῳ τῆς αὐτοῦ βασιλείας, ἐποίησεν ἐπίσκοπον πατριάρχην ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ Πέτρον, [1] τὸν παραμονάριον τῆς ἁγίας Ευφημίας τῆς ἐν Χαλκηδόνι· καὶ ἔπεμψεν αὐτὸν ἐν Ἀντιοχείᾳ. μετὰ δὲ δύο ἔτη, καὶ μῆνας δέκα τῆς

1 τὸ παραμονάριον τῆς ἁγίας Ευφημίας. | Μονὴ recentioribus idem quod *Monaſterium*; inde Παραμονάριος, *Monaſterii Miniſter*; *Manſionarium*, vocat Anaſtaſius. Petrum vero hunc, cognomento Κναφέα, ſive *Fullonem*, non *Euphemiæ*, ſed *S. Baſſæ* Presbyterum fuiſſe; nec à Zenone Imp. Epiſcopum creatum, ſed Leonis I. anno ſeptimo Epiſcopatum Antiochenum ſibi arripuiſſe teſtatur Cedrenus.

βασι-

βασιλείας αὐτοῦ, ἐν λύπῃ γενόμενος διὰ πρᾶγμα αἰτηθὲν παρὰ τῆς αὐτοῦ πενθερᾶς Βερίνης, καὶ μὴ παρασχεθὲν αὐτῇ παρ' αὐτοῦ, κατεσκευάσθη παρὰ τῆς δεσποίνης Βερίνης, τῆς αὐτοῦ πενθερᾶς. καὶ φοβηθεὶς, μὴ σφαγῇ ὑπό τινος τῶν τοῦ παλατίου, ὡς συνοικούσης τῆς πενθερᾶς αὐτοῦ ἐν τῷ παλατίῳ, ποιήσας πρόκενσον ἐν Χαλκηδόνι, ἔφυγεν ἐκεῖθεν βερέδοις, καὶ ἀπῆλθεν εἰς τὴν Ισαυρίαν, [1] ὡς ἔστι βασιλεύς. ὅντινα κατέλαβε, φυγοῦσα τὴν ἰδίαν αὐτῆς μητέρα λάθρα, καὶ ἡ βασίλισσα Αριάδνη, εἰς τὴν Ισαυρίαν· καὶ διῆγεν ἅμα τῷ ἰδίῳ αὐτῆς ἀνδρί.

cum Verina Augusta, socrus ejus, ob negatam sibi quam ab eo postulaverat rem quampiam, insidias ei struxisset; super his anxius animi, veritusque ne ab aliquo Palatinorum interficeretur, (socrus enim in Palatio cum genero suo simul habitabat) Chalcedonem se contulit: inde vero veredis, (Imperator licet esset) in Isauriam fugit. Quem Imperatrix quoque Ariadna, matrem suam clam fugiens, in Isauriam secuta est; ubi etiam cum viro suo degit.

BASILISCUS IMPERATOR.

ΚΑὶ μετὰ τὸ φυγεῖν Ζήνωνα τὸν βασιλέα, καὶ Αριάδνην, εὐθέως προεχειρίσατο ἡ αὐτὴ δέσποινα Βηρίνα βασιλέα, στέψασα Βασιλίσκον, τὸν ἴδιον αὐτῆς ἀδελφόν· καὶ ἐβασίλευσεν ὁ αὐτὸς Βασιλίσκος, ὁ ἀδελφὸς Βερίνης τῆς πενθερᾶς Ζήνωνος, ἔτη β΄. ἡ δὲ αὐτὴ Βερίνα ὅτε αὐτὸν βασιλέα, ὠνόμασε καὶ ὕπατον, μετὰ Αρμάτου, προαχθέντος παρὰ Βασιλίσκου στρατηλάτου τῶν μεγά-

STatim vero post Zenonis & Ariadnæ fugam, Verina Augusta Basiliscum, fratrem suum, Diademate insignitum, Imperatorem renunciavit. Imperium autem tenuit Basiliscus, Verinæ Zenonis socrus frater, annis 2. Consulem quoque eodem, quo Imperatorem, tempore designavit Verina, una cum Armato, quem Basiliscus ipse Magni Præsentis Militiæ Magistrum constituerat:

1 ὡς ἔστι βασιλεύς.] Chr. Alexandrini Interpres ita vertit: *atque inde Veredis, velut Imperator, properavit in Isauriam:* ac si Imperatorium fuisset, nec exercitu, nec satellitio stipatum eum Veredis fugere. Immo summæ potius Zenonis μικροψυχίας argumentum hoc ponit Auctor, eo quod, Imperator licet esset, ad laboriosum hunc, vilemque Cursum descenderet, atque ἵπποις ταχυδρόμοις, sive Veredis, à socrûs suæ insidiis etiam se subduceret.

duo

duo itaque hi Consulatum una gesserunt.

Basiliscus vero simul ac imperare cœpit, Marcum filium suum Imperatorem renunciavit; amboque simul regnarunt.

Imperantibus autem Basilisco, & Marco filio, divinam iram passa est Syriæ Primæ urbs, nomine Gabala, mense Septembri, sub ortum Solis: cui de novo instaurandæ Basiliscus Imperator libras auri L largitus est.

λου Πραισέντου· καὶ ὑπάτευσαν οἱ δύο.

Ὁ δὲ αὐτὸς Βασιλίσκος ἅμα μόνον ἐβασίλευσεν, ἔστεψε τὸν υἱὸν αὐτοῦ βασιλέα, ὀνόματι Μάρκον· καὶ ἐβασίλευσαν οἱ δύο.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας Βασιλίσκου, καὶ Μάρκου, τοῦ υἱοῦ αὐτοῦ, ἔπαθεν ὑπὸ θεομηνίας πόλις τῆς πρώτης Συρίας, ὀνόματι Γάβαλα, μηνὶ Γορπιαίῳ, εἰς τὸ αὖγος· καὶ ἐχαρίσατο τῇ αὐτῇ πόλει ὁ βασιλεὺς Βασιλίσκος, εἰς ἀνανέωσιν, χρυσίου λίτρας ν'.

ZENO

IMPERATOR.

Inter hæc Zeno Imperator, numeroso milite stipatus, ex Isauria Constantinopolim rediit; missis Antiochiam Magnam Militibus Præsidiariis, sub Troconde Duce. Petrus autem Patriarcha, qui Episcopus à Zenone creatus fuerat, ubi de his accepisset, Basilisci tamen partibus adhæsit. Basiliscus vero, audito Zenonis Imperatoris adventu, misit Armatum, Præsentis Militiæ Magistrum, omnibus, quas habuit in Thracia, Constantinopoli, & Palatio, copiis instructum: quem etiam adjuraverat per

Καὶ ἐπανῆλθε Ζήνων ὁ βασιλεὺς μετὰ πλήθους πολλοῦ ἐκ τῆς Ἰσαυρίας ἐπὶ Κωνσταντινούπολιν, πέμψας εἰς Ἀντιόχειαν τὴν μεγάλην παραφύλακας Ἰσαύρους, καὶ στρατηλάτην Τροκόνδην. ἀκούσας οὖν Πέτρος ὁ πατριάρχης, ὁ ὑπ' αὐτοῦ δεξάμενος τῆς ἐπισκοπῆς τὴν χειροτονίαν· ὑπὲρ τοῦ μέρους Βασιλίσκου ἐποίει. ὁ δὲ Βασιλίσκος μαθὼν τὴν τοῦ βασιλέως Ζήνωνος ἐπάνοδον, ἔπεμψεν Ἀρμάτον τὸν στρατηλάτην τοῦ Πραισέντου, μετὰ πάσης ἧς εἶχε βοηθείας στρατοῦ ἐν Θρᾴκῃ, καὶ ἐν Κωνσταντινουπόλει, [1] καὶ εἰς τὸ παλάτιον· ὁρκώ-

[1] καὶ εἰς τὸ παλάτιον.] Verba hæc, & præcedentia à Radero pessime vertuntur, cui in mentem non venit, εἰς, cum accusativo, hoc loco, ut & alibi frequentissime pro ἐν poni.

σας

σας αὐτὸν εἰς ἅγιον βάπτισμα [1] νεωφωτίςου, μὴ προδοῦναι. καὶ λαβὼν τὸ πλῆθος τοῦ στρατοῦ ὁ Ἀρμάτος, ἐπέρασε· καὶ τοῦτο προμαθὼν Ζήνων ὁ βασιλεὺς, ἔπεμψε πρὸς [2] τὸν αὐτὸν Ἀρμάτιον, ἐπαγγειλάμενος αὐτῷ πολλὰ, καὶ [3] τὴν στρατηλασίαν τῆς αὐτοῦ ζωῆς, καὶ τὸν υἱὸν αὐτοῦ ποιεῖν Καίσαρα. καὶ προτραπεὶς ὁ αὐτὸς Ἀρμάτιος ὑπὸ Ζήνωνος βασιλέως, προέδωκεν, εὑρεθεὶς εἰς τὸ μέρος Ζήνωνος τοῦ βασιλέως· καὶ οὐκέτι ὑπήντησε Ζήνωνι ἐρχομένῳ ὁ αὐτὸς Ἀρμάτος· ἀλλὰ δι' ἄλλης ἔδοξεν ἀπιέναι ὁδοῦ τῆς Ἰσαυρίας.

sanctum Baptismum, cujus lavacro recenter intinctus fuerat, ne se Zenoni proderet. Armatus itaque copiis acceptis, trajecit; quod ubi Imperator Zeno intellexit, misso ad Armatum Legato, multa ei pollicitus est, Præsentis Militiæ Præfecturam perpetuam, filiumque ejus Cæsarem futurum. Armatus itaque Promissis hisce Zenonis allectus, [Basiliscum] prodidit, in Zenonis partes discedens: nec Zenoni venienti cum exercitu occurrit, sed via alia Isauriam petere statuit.

Ἐξορμήσας δὲ Ζήνων, ἐπέρασεν ἀπὸ τῶν λεγομένων Πυλῶν, καὶ εἰσῆλθεν εἰς τὸ παλάτιον, μετὰ τῶν ἰδίων ὁπλιτῶν, ἰνδικτιῶνι ιδ'· καὶ ἐδέχθη ὑπὸ τῶν στρατευμάτων, καὶ τῆς συγκλήτου. ἐθάῤῥει δὲ εἰς τὸ Πράσινον μέρος, ὅτι ἐφιλεῖτο παρ' αὐτῶν· ἔχαιρε γὰρ καὶ αὐτὸς Ζήνων ὁ βασιλεὺς εἰς τὸ Πράσινον μέρος.

Zeno autem, cum exercitu suo, per *Pylas*, quas vocant, trajecit; Palatiumque cum militibus suis ingressus, ab exercitibus, & Senatu receptus est, Indictione XIV. De Prasinis vero satis securus erat; quippe hi Zenonem, ut qui partibus eorum faveret, percharum sibi habuerunt.

Ἀκούσας δὲ ἐξαίφνης Βασιλίσκος, ὅτι Ζήνων ὁ βασιλεὺς εἰς τὸ παλάτιον ὥρμησε, καὶ εἰσῆλθε· καὶ ὅτι ἐδέξαντο αὐτὸν πάντες, καὶ Βηρίνα ἡ δέσποινα, ἡ πενθερὰ αὐτοῦ· λαβὼν οὖν Βασιλίσκος τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, ἔφυγεν εἰς τὴν μεγάλην ἐκκλησίαν Κωνσταντινουπόλεως, εἰς τὸ μέγα φωτιστήριον, προδοθεὶς

Basiliscus interim ubi audivisset, Imperatorem Zenonem venisse, Palatiumque occupasse, ab omnibus, ipsa etiam Verina Augusta, socru ejus, receptum; ipse, proditum se ab Armato videns, arreptis secum liberis, & uxore sua, ad magnum protinus Baptisterium Ecclesiæ magnæ Constantinopolitanæ se rece-

1 νεωφωτίςου.] Scr. νεοφωτίςου.

2 τὸν αὐτὸν Ἀρμάτιον.] Armatus iste, & Harmatius, à Scriptoribus varie dictus est.

3 τὴν στρατηλασίαν τῆς αὐτοῦ ζωῆς.] Chr. Alex. habet, ἕως τῆς αὐτοῦ ζωῆς, rectius.

pit, Theudericho tum Consulatum gerente.

Sacratissimus autem Imperator Zeno, velo in usum Circi exhibito, statim ascendit, Ludosque spectavit; urbe tota reditum ei gratulante. Sic itaque receptus à suis, inter ipsa Circensia, magnam ad Ecclesiam misit, & à Basilisco, & uxore ejus, filioque, insignia Imperatoria abstulit: extractumque inde eum, cum uxore, liberisque, data cautione nec capitibus multatum, nec neci eos traditum iri, amandavit eum cum suis in Limnas, Cappadociæ Castellum: in cujus turrim quandam conjectus, porta ejus muro obstructa, castelloque à præsidio militari Isaurico custodito, ipse tandem, cum uxore, liberisque, fame necatus interiit, turrim hanc pro sepulchro consecutus.

Zeno autem Imperator post reditum suum annos XII regnavit: in universum itaque complevit annos XV, & menses 2: quibus etiam nonnulli duos illos, quibus Basiliscus imperavit, annos annumerant. Cæterum Zeno Imperator, sta-

ὑπὸ Ἀρμάτου· [1] ἐπὶ τῆς ὑπατείας Θευδερίχου.

Ὁ δὲ θειότατος Ζήνων βασιλεὺς, παραλαβὼν τὸ βῆλον τοῦ Ἱππικοῦ, εὐθέως ἐλθὼν ἐθεώρησε· καὶ ἐδέχθη ὑπὸ πάσης τῆς πόλεως. καὶ μετὰ τὸ δεχθῆναι, ἐν ὅσῳ θεωρεῖ, ἔπεμψεν εἰς τὴν μεγάλην ἐκκλησίαν, καὶ ἐπῆρε παρὰ Βασιλίσκου, καὶ τοῦ υἱοῦ αὐτοῦ, καὶ τῆς γυναικὸς αὐτοῦ, τὸ σχῆμα τῆς βασιλείας· καὶ ἐκβαλὼν αὐτὸν, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα αὐτοῦ, ὑπὸ λόγον ὅτι οὔτε ἀποκεφαλίζονται, οὔτε σφαγιάζονται· ἔπεμψεν αὐτὸν, καὶ τοὺς αὐτοῦ, εἰς Λίμνας κάστρον ἐν Καππαδοκίᾳ. καὶ ἐβλήθησαν εἰς ἕνα πύργον τοῦ κάστρου, [2] καὶ ἀνεχρίσθη ἡ θύρα, καὶ ἐφύλαττον τὸν πύργον καὶ τὸ κάστρον Λίμνας πλῆθος στρατιωτῶν Ἰσαύρων πολὺ, ἕως λιμοκτονηθεὶς ὁ αὐτὸς Βασιλίσκος, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ τὰ τέκνα αὐτοῦ, ἀπέδωκαν τὰς ψυχάς· καὶ ἐτάφησαν ἐκεῖ εἰς τὸν αὐτὸν πύργον ἐν Καππαδοκίᾳ.

Καὶ ἐβασίλευσε Ζήνων μετὰ τὴν ἐπάνοδον αὐτοῦ ἄλλα ἔτη ιβʹ· τοῦτ᾽ ἔστι, τὰ πάντα ἔτη ἐβασίλευσε ιεʹ, καὶ μῆνας δύο· τινὲς δὲ καὶ τὰ δύο ἔτη Βασιλίσκου εἰς τὴν αὐτοῦ πάσουσι βασιλείαν. ὁ δὲ αὐτὸς Ζήνων βασιλεὺς

1 Ἐπὶ τῆς ὑπατείας Θευδερίχου] Nihil minus: *Zeno enim ad Constantinopolim reversus est, vel Basilisco & Armato Coss. vel anno sequente, quo vel nulli erant Consules, ut Marcellinus Comes, vel Armatus solus Consulatum gessit, ut Victor vult; quum Theodoricus non ante septimum posthæc, vel octavum annum ad Consulatum provectus fuerit.* Vide Chr. Alex. Victorem, & Marcellinum.

2 καὶ ἀνεχρίσθη ἡ θύρα.] ἀναχρίω hoc loco novo plane sensu accipitur, pro, *obturo*: quo etiam modo παραχρίω fere usurpatur à Jo. Tzetze Chil. I. Hist. 14.

Μόνον δὲ τούτους παρελθεῖν φασὶ τὸν Ὀδυσσέα,
Κηρῷ μὲν παραχρίσαντα τὰ τῶν ἑταίρων ὦτα.

ἐπανελ-

ἐπανελθὼν, εὐθέως καθεῖλε Πέτρον τὸν ἐπίσκοπον καὶ πατριάρχην Ἀντιοχείας τῆς μεγάλης, ὡς φίλον Βασιλίσκου· καὶ ἐξώρισεν αὐτὸν [1] εἰς Εὐχάϊτα εἰς τὴν Ποντικήν· καὶ ἐποίησεν ἀντ' αὐτοῦ Στέφανον ἐπίσκοπον Ἀντιοχείας. ἔδωκε δὲ ὑπὲρ τῆς ἐπανόδου αὐτοῦ ὁ αὐτὸς βασιλεὺς Ζήνων δωρεὰς πᾶσι τοῖς ὑποτελέσιν αὐτοῦ. ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ [2] ἐσφάγη ὁ ἐπίσκοπος Στέφανος Ἀντιοχείας εἰς καλάμια ὀξυθέντα ὑπὸ τοῦ κλήρου τοῦ ἰδίου, ἔξω τῆς αὐτῆς πόλεως, εἰσελθὼν εἰς τὴν σύναξιν τῶν ἁγίων τεσσαράκοντα, εἰς τὰ λεγόμενα, Βαρλαᾶ, ὡς Νεστοριανός· καὶ ἐῤῥίφη τὸ λείψανον αὐτοῦ εἰς τὸν Ὀρόντην ποταμόν. καὶ μαθὼν Ζήνων ὁ βασιλεὺς, ἐποίησεν ἐπίσκοπον καὶ πατριάρχην ἄλλον, ὀνόματι Καλανδίωνα, ἐν τῇ αὐτῇ Ἀντιοχέων πόλει τῆς Συρίας· καὶ ἐξωρίσθη καὶ αὐτὸς, ὡς Νεστοριανός. καὶ ἀνεκλήθη ὑπὸ τοῦ αὐτοῦ Ζήνωνος βασιλέως ὁ ἐπίσκοπος Πέτρος ἐκ τῆς ἐξορίας, τοῦ δήμου τῶν Ἀντιοχέων αἰτησάντων, καὶ τοῦ κλήρου· καὶ ἐλθὼν ἀπὸ Εὐχαΐτων, ἐγένετο πάλιν πατριάρχης, καὶ ἀπέθανεν εἰς τὸν ἴδιον αὐτοῦ θρόνον ἐν Ἀντιοχείᾳ.

Ἐπὶ δὲ τῆς τοῦ Ζήνωνος βασι-

tim à reditu suo, Petrum Episcopum & Patriarcham Antiochiæ Magnæ, tanquam qui Basilisci partibus adhæserat, Episcopatu ejectum, in Euchaita, Ponti urbem, relegavit; Stephano in locum ejus suffecto. Tributariis autem suis omnibus, ob reditum suum felicem, munera largitus est Zeno Imperator. Eodem imperante Zenone, Clerus Antiochensis Stephanum, Episcopum suum, quod Nestorii esset sectator, extra urbem, Quadraginta Sanctorum ad Synaxim, quæ Barlais (uti vocant) habebatur, ingredientem, calamis præacutis confecerunt; corpusque ejus mortuum in Orontem fluvium projecerunt. Imperator autem Zeno de his certior factus, Calandionem quendam, Episcopum & Patriarcham Antiochiæ Syriæ constituit: Verum hic quoque, quod Nestorianus esset, exterminatus est. Tum vero Imperator, Clero, populoque Antiochensi hoc ab eo flagitantibus, Petrum Episcopum ab exilio revocavit. Hic itaque ab Euchaitis revocatus, & in Patriarchatum restitutus, in sede sua Antiochensi finivit vitam.

Cæterum Imperator Zeno

---

1 Εἰς Εὐχάϊτα εἰς τὴν Ποντικήν.] Urbs hæc varie dicta est, τὰ Εὐχάϊτα, ut hoc loco, & apud Cedrenum: ἡ Εὐχαΐτα. & Εὐχάνια etiam legitur, apud Zonaram. Theodoropolis autem alio nomine deinceps vocata est, uti idem testatur Tom. 3. in Joanne Zimisca. Cæterum Cedrenus Petrum Fullonem à Zenone in Pityos relegatum, ad S. Theodorum vero in Euchaitis clam confugisse asserit.

2 ἐσφάγη ὁ ἐπίσκοπος Στέφανος.] Eadem refert Evagrius, & ex eo Nicephorus; nisi quod, ubi Noster à Clero, illi à populo Antiocheno Stephanum occisum tradunt. Ubi obiter notandum, Nicephori Interpretem παῖδες Ἀντιοχέων, qua voce Nicephorus cum Evagrio usus est, *Antiocheni pueri*, inepte reddidisse.

Basi-

Basiliscum, Armati Præsentis militiæ Magistri filium, ex pacto Cæsarem renunciavit. Zenoni itaque Circensia spectanti, Basiliscus etiam assidebat; Cæsarque simul, cum Imperatore, aurigantibus præmia exhibuit. At vero Imperator, Armati, Præsentis militiæ Magistri, Cæsaris patris, perjurium animo suo recogitans; & quod per sacrum Baptismum Basilisco juraverit, se eum non proditurum esse; " hortatu tamen meo, inquit, adductus, " prodidit eum, & mortis ei " auctor fuit, Imperio meo (uti " ait ipse) se præstans fidelem. " Quin & ubi primum adoleverit Cæsar filius ejus, omnino & fidem suam erga me " violabit: At ego illi fidem " meam liberavi; ipsum Patricium protinus, Militiæque Præfectum constituendo; filium etiam ejus Cæsarem renunciando. Imperator itaque Armatum, tanquam perjurum, occidi jussit: quod & factum est, interim dum Decimum pertransiens, Circum ingrederetur Ludos spectaturus. Post cædem Armati, Basiliscum filium ejus, adolescen-

λείας, προεχειρίσθη παρ' αὐτοῦ κατὰ συντάξεις, καὶ ἐγένετο Καῖσαρ ὁ υἱὸς Αρμάτου, τοῦ στρατηλάτου Πραισέντου, ὀνόματι Βασιλίσκος· καὶ συνεκάθητο τῷ αὐτῷ Ζήνωνι Βασιλίσκος εἰς τὸ Ἱππικὸν θεωρῶν, καὶ ἐτίμα τοὺς ἡνιόχους ὁ βασιλεὺς, καὶ ὁ Καῖσαρ. ὁ δὲ Ζήνων [1] λογησάμενος, ὅτι ἐπιόρκησεν Αρμάτος ὁ στρατηλάτης τοῦ Πραισέντου, ὁ πατὴρ τοῦ Καίσαρος, ἐπομοσάμενος εἰς τὸ ἅγιον βάπτισμα Βασιλίσκῳ τῷ βασιλεῖ, μὴ προδοῦναι [2] αὐτῷ· " καὶ προτραπεὶς παρ' " ἐμοῦ, προέδωκεν αὐτὸν, καὶ ἀπέθανεν, [3] ὡς τῇ ἐμῇ, φησὶ, βασιλείᾳ πιστὰ φυλάξας· μικρὸν γὰρ, " ἐὰν ἀνδριωθῇ ὁ υἱὸς αὐτοῦ ὁ Καῖσαρ, πάντως καὶ ἐμὲ παραβαίνει· " ἐγὼ δὲ οὐ παρέβην αὐτὸν, ἀλλὰ " καὶ αὐτὸν ἐποίησα, ἐπὶ τόπῳ πατρίκιον, καὶ στρατηλάτην, καὶ τὸν υἱὸν " αὐτοῦ Καίσαρα· ἐκέλευσεν οὖν σφαγῆναι τὸν Αρμάτον, ὡς ἐπίορκον, καὶ ἐσφάγη, ὡς ἀνέρχεται [4] κατὰ τὸ Δέκιμον εἰς τὸ Ἱππικὸν θεωρῆσαι. καὶ μετὰ τὸ φονευθῆναι Αρμάτον, τὸν υἱὸν αὐτοῦ Βασιλίσκον τὸν Καίσαρα, παιδίον ὄντα, ἐχειροτόνησεν ἐπι-

1 λογησάμενος.] Scr. λογισάμενος.

2 αὐτῷ.] Scr. αὐτόν.

3 ὡς τῇ ἐμῇ βασιλείᾳ, φησὶ, πιστὰ φυλάξας.] Chr. Alex. habet, πῶς τῇ ἐμῇ βασ. πιστὰ φυλάξει· ad quam lectionem Codicem etiam nostrum MS. recenti manu correctum inveni. Cæterum ubi sensus aliquis inde elici poterit, lectionem veterem retinere satius est.

4 κατὰ τὸ Δέκιμον.] Chr. Alex. habet, κατὰ τὸ δόκιμον, corrupte: quod à Radero redditur, *in speciem* &c. Cæterum τὸ Δέκιμον loci cujusdam Circo vicini nomen fuisse videtur. Occurrit iterum infra, ubi de Illo ab Imperatrice insidiis petito mentio facta est: καὶ Ἱππικοῦ ἀγομένου, ὡς ἀνέρχεται διὰ τῶν πουλπιτῶν ἐπὶ τὸ Δέκιμον, ἔκρουσεν αὐτὸν ὁ προτραπεὶς σχολάριος, &c.

σκοπον

σκοπον ἐν Κυζίκῳ, τῇ μητροπόλει τῆς Ἑλλησπόντου.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας, τυραννήσαντες οἱ Σαμαρεῖται ἐν Παλαιστίνῃ, ἔστεψαν λῄσταρχον, ὀνόματι Ἰουστασὰν, Σαμαρείτην· καὶ εἰσῆλθεν ἐν Καισαρείᾳ, καὶ ἐθεώρησεν ἱππικὸν, καὶ ἐφόνευσε πολλοὺς χριστιανοὺς, ἡγεμονεύοντος τῆς πρώτης Παλαιστίνης Πορφυρίου. ὁ δὲ αὐτὸς Ἰουστασὰς ἔκαυσε τὸν ἅγιον Προκόπιον, ἐπὶ Τιμοθέου ἐπισκόπου Καισαρείας. καὶ ἐλθὼν ὁ δοὺξ Παλαιστίνης Ἀσκληπιάδης μετὰ τῆς αὐτοῦ βοηθείας, καὶ ὁ λῃστοδιώκτης Ῥήγης, ὁ ἀξιωματικὸς [1] Καισαρείας, μετὰ τῶν Ἀρκαδιακῶν· ὁρμήσαντες κατ' αὐτοῦ, συνέβαλον αὐτῷ, καὶ παρέλαβον αὐτόν· καὶ ἀπεκεφάλισαν τὸν αὐτὸν Ἰουστασὰν, καὶ ἐπέμφθη ἡ κεφαλὴ αὐτοῦ, μετὰ τοῦ διαδήματος, τῷ βασιλεῖ Ζήνωνι. καὶ εὐθέως ὁ βασιλεὺς Ζήνων ἐποίησε τὴν συναγωγὴν αὐτῶν, ἣν εἶχον [2] εἰς τὸ Γαργαζὶ ὄρος, εὐκτήριον οἶκον τῆς ἁγίας θεοτόκου Μαρίας· ἀνανεώσας καὶ τὸν ἅγιον Προκόπιον·

tulum, Cyzici, quæ Hellesponti Metropolis est, Episcopum designavit.

Hujus sub imperio Samaritani, Palæstinam incolentes; tyrannidem capessentes, Justasam quendam, Samaritanum, Latronum Principem, Diademate cinxerunt. Hic itaque Cæsaream ingressus, Circensia spectavit; multosque Christianos interfecit; Porphyrio tunc temporis Syriæ Primæ Præfecturam tenente. Quin & S. Procopii quoque templum concremavit; Timotheo tum sedem Cæsariensem occupante. Supervenientes autem ei Palæstinæ Dux Asclepiades cum copiis suis, & Rheges Latronum insectator, Cæsariensis Axiomaticus cum Arcadiacis, Justasam adorti sunt: prælioque commisso, comprehensum tyrannum capite multarunt, caputque ejus, regiumque Diadema, Zenoni Imperatori miserunt. Zeno itaque Synagogam Samariticam, quam in monte *Gargazi* habuerunt, in Oratoriam Ædem convertit, Sanctæ Deiparæ Mariæ sacratam; instaurato etiam S. Proco-

1 Καισαρείας.] Scr. Καισαρείας.

2 εἰς τὸ Γαργαζὶ ὄρος.] Chr. Alex. legit, εἰς τὸ καλούμενον Γαργαριδίων· Suspicor legendum τὸ Γαριζὶν ὄρος. Mons enim Garizin Samariæ imminet; in quo celeberrimum erat templum illud, à Samaritanis sacrificii, & Orationis causa frequentatum, atque causa tali extructum. Tempore Alexandri Macedonis Manasses, Jaddi Pontificis Judæorum frater, eo quod alienigenam duxisset uxorem, Nicasam nempe, Sanabelletis Samariæ ducis filiam, ab altari pulsus est. Socero Manasses rem defert, qui ei pollicetur, si filiam suam retineret, se ei & sacerdotium conservaturum, atque etiam Pontificem, & ducem eorum locorum quibus ipse imperaret, eum creaturum. Annuit Manasses: extructo itaque in Garizino monte templo, Sanabellet generum suum Pontificem ibidem constituit, cui exinde adhæsit populus Samaritanus. Vide Josephi Antiquit. Judaic. lib. 11. c. 8. Ad hunc montem respexit Samaritana, Joh. c. 4. dicendo, *Patres nostri in hoc monte adorarunt*, &c.

pii Templo. Quinetiam & Samaritarum potentiorum bonis publicatis, Edicto cavit, ne quis ex Samaritis deinceps militaret. Sic itaque res ad pacem redacta est.

Eodem Imperante, Theuderichus quidam, Exconsul, Valemeris filius, (qui Constantinopoli enutritus, literisque imbutus fuerat, & Præsentis Militiæ tandem Magister constitutus) cum Armati fatum apud se reputasset, metuens sibi ab Imperatore Zenone, relicta Constantinopoli, & assumptis secum copiis suis, in Salabriam devenit, ob numeros Militares ibi collocatos. Tyrannidem vero arripiens, Thraciam universam occupavit: quin & contra Zenonem Imperatorem arma movens, adusque Sycenum trajectum, Constantinopoli è regione situm, penetravit; Aquæductu etiam urbis exciso. Cumque per multos dies urbi incubuisset, nihil tamen Imperatorem lædere potuerit; inde movens, Romam tendit, Odoacri, Barbarorum regi tum parentem. Quicum inito prælio, ex Senatorum consensu, & proditione urbem Romam, ipsumque Odoacrem, nullo ne-

ποιήσας διάταξιν [1] μὴ στρατεύεσθαι Σαμαρειτῶν, δημεύσας καὶ τοὺς εὐπόρους αὐτῶν· καὶ ἐγένετο κατάστασις.

Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας Θευδέριχος, ὁ ἀπὸ ὑπάτων, [2] ὁ υἱὸς Οὐαλέμερος, ἐν Κωνσταντινουπόλει ἀνατραφεὶς καὶ ἀναγνοὺς, στρατηλάτης ὢν Πραισέντου, καὶ ἑωρακὼς τὶ ὑπέστη Ἀρμάτος, φοβηθεὶς τὸν βασιλέα Ζήνωνα, ἔλαβε τὴν ἰδίαν βοήθειαν, καὶ ἐξῆλθεν ἀπὸ Κωνσταντινουπόλεως, ἐπὶ Σαλαβείαν ἀπιὼν, διὰ τοὺς ἐκεῖ καθεζομένους ἀριθμούς. καὶ τυραννήσας, παρέλαβε τὴν Θρᾴκην πᾶσαν· καὶ ἦλθε κατὰ τοῦ βασιλέως Ζήνωνος, ἕως Συκῶν πέραν κατέναντι Κωνσταντινουπόλεως, κόψας καὶ τὸν ἀγωγὸν τῆς πόλεως. καὶ ποιήσας ἡμέρας πολλὰς, καὶ μὴ δυνηθεὶς βλάψαι τὸν βασιλέα, ἀνεχώρησεν ἐκεῖθεν, [3] ὁρμήσας ἐπὶ τὴν Ῥώμην, τότε κατεχομένην ὑπὸ τοῦ Ὀδοάκρου, ῥηγὸς τῶν Βαρβάρων. καὶ πολεμήσας αὐτῷ, κατὰ γνώμην καὶ προδοσίαν τῆς συγκλήτου Ῥώμης, παρέλαβεν [4] ἀντιπερεάστως τὴν αὐτὴν Ῥώμην, καὶ τὸν Ὀδόακρον ῥῆγα· καὶ

1 μὴ στρατεύεσθαι Σαμαρειτῶν] Pœnæ hujus, qua Criminalibus aliquando Civili, quandoque Militari tantum, est & ubi alterutro munere fungendo interdictum fuit, frequens apud Auctores occurrit mentio. Noster etiam supra hæc habet, in Marciano, qui tumultuantes Prasinos pœna hujusmodi coercuit: ὅστις καὶ διάταξιν αὐτοῦ θείαν ἐξεφώνησε, (ταραχῆς γενομένης παρὰ τοῦ τῶν Πρασίνου μέρους) μὴ πολιτεύεσθαι Πρασίνους, μήτε στρατεύεσθαι, ἐπὶ ἔτη τρία.

2 ὁ υἱὸς Οὐαλέμερος.] Theuderichus, sive Theodericus, Theodemiris erat filius, Valemir vero ejus patruus erat. Vide Paul. Diac. lib. 16. & Jornand. de Reb. Get. cap. 52.

3 ὁρμήσας ἐπὶ τὴν Ῥώμην.] Ista à vero aliena sunt: non Romam enim, sed Ravennam tenuit Odoacer: qua post triennalem tandem obsidionem capta, Theudericus Odoacrem, dolo licet, interemit tamen: uti testantur Procopius Gotthic. lib. 1. Paul. Diacon. lib. 16. Jornand. de rebus Geticis, cap. 57.

4 ἀντιπερεάστως.] Scr. ἀντιπρεάστως.

ἐφόνευ-

ἐφόνευσεν αὐτὸν, καὶ κατέσχε τῆς Ῥώμης, γενόμενος ἀντ' αὐτοῦ, ῥὴξ ἐν αὐτῇ, [1] ἔτη μζ'. καὶ ἐφιλιώθη Ζήνωνι μετὰ ταῦτα τῷ βασιλεῖ, καὶ πάντα ὅσα ἔπραττε κατὰ γνώμην αὐτοῦ, καὶ τοὺς ὑπάτους χρηματίζων Κωνσταντινουπόλεως, καὶ τοὺς ἐπάρχους τῶν πραιτωρίων, καὶ τὰ [2] κωδικιάλλια μετὰ τῶν αὐτοῦ ἀρχόντων τῶν μεγάλων, ἀπὸ τοῦ βασιλέως Ζήνωνος ἐδέχετο, μηνύων αὐτῷ τίνα ἤθελε προαχθῆναι· [3] καὶ τοὺς σκηπίονας δὲ τῶν ὑπάτων ἐπὶ τοῦ βασιλέως αὐτοῦ ἐλάμβανε· μόνον δὲ ῥὴξ ἐγένετο ὁ αὐτὸς Θευδέριχος.

Προσῆλθεν αὐτῷ μία χήρα, συγκλητικὴ Ῥώμης, ὀνόματι Ἰουβεναλία, διδάσκουσα αὐτὸν, "ὅτι [4] τριάκοντα "ἔτη ἔχω δικαζομένη μετὰ τοῦ πατρι-"κίου Φίρμου· ἀλλὰ εὐλύτωσόν με. καὶ ἐνέγκων τοὺς δικολόγους τῶν ἀμφοτέρων μερῶν, εἶπεν αὐτοῖς· "εἰ μὴ "διὰ τῆς αὔριον καὶ τῆς [5] μεθ' αὐτῆς δώ-"σετε αὐτοῖς τὸν ὅρον, καὶ ἀπαλλά-"ξετε [6] αὐτοῖς, ἀποκεφαλίζω ὑμᾶς. καὶ καθίσαντες διὰ τῶν δύο ἡμερῶν, εἶπαν τὰ δοκοῦντα τοῖς νόμοις, δεδωκότες αὐτοῖς ὅρον, καὶ ἀπαλλάξαντες αὐτούς. καὶ ἅψασα κηροὺς Ἰουβεναλία προσῆλθεν αὐτῷ, [7] εὐχαριστῶσα ὅτι εὐλυτώθην τῆς δίκης·

gotio cepit. Quo occiso, ipse Romanum regnum sibi vendicavit; regnavitque ibi, per annos XLVII. Theuderichus autem, posthæc in gratiam cum Zenone rediens, omnia ad mentem ejus agitabat: Consules etiam ipse Constantinopolitanos, & Prætorio Præfectos designans; à Zenone Imperatore itidem Magistratuum suorum primariorum omnium Codicillos, Consulum etiam scipiones, (indicatis prius, quos ad dignitatem ullam provectos ipse vellet) accepit. Jus vero Regium apud Theuderichum solum remansit.

Accedit autem ad eum Patricia quædam Romana, nomine Juvenalia, fœmina vidua, his verbis eum interpellans: "Causam, [ô Rex] quæ mihi "cum Patricio Firmo inter-"cessit totis jam XXX annis, Tu "mihi expedi. Accersitis itaque utriusque Partis Causidicis; "Nisi (inquit eis) intra "biduum litibus istis ad exi-"tum perductis, Clientes hos-"ce dimiseritis, capite vos ple-"ctam. Causa itaque per biduum agitata, Causidici sententiam juxta leges ferebant, & litigantes dimiserunt. Juvenalia itaque cereis accensis, ad Regem venit; gratiasque ei e-

1 ἔτη μζ'.] Triginta tantum annos eum regnasse asserit Jornandes, de Regn. Success. in Zenone.

2 καὶ τὰ κωδικιάλλια.] Scr. κωδικίλλια. κωδίκελλος, & κωδικίλλιον, *codicillus.*

3 καὶ τοὺς σκηπίονας δὲ τῶν ὑπάτων.] σκηπίων, & σκιπίων Scipio est; quo vocabulo Auctor Symbolum, sive Insigne Consulare signare videtur.

4 τριάκοντα ἔτη.] Chr. Alex. habet, τρία ἔτη.

5 μεθ' αὐτῆς δώσετε.] Scr. μεθ' αὐτὴν δώσετε.

6 αὐτοῖς.] Scr. αὐτούς.

7 εὐχαριστῶσα ὅτι εὐλυτώθην.] Scr. εὐχαριστοῦσα ὅτι εὐλυτώθη.

